προηγούμεναι μοῖραι καὶ τὰ προηγούμενα ζῴδια τοῦ
Ἡλίου ἕως τῆς τοῦ τριγώνου πλευρᾶς ἐν ταῖς προανα-* F 3
φερομέναις μοίραις καὶ ἐν τῷ δεξιῷ μέρει τοῦ Ἡλίου 𝔖 3
ἑῷαι χρηματίζουσιν, αἱ δὲ ἑπόμεναι μοῖραι καὶ τὰ ἑπόμενα 11
*ζῴδια ἕως τῆς τριγώνου πλευρᾶς τοῦ Ἡλίου ἐν ταῖς
ἐπαναφερομέναις μοίραις καὶ τῷ εὐωνύμῳ μέρει τοῦ Ἡλίου
ἑσπερίαν τὴν θεωρίαν ἴσχουσι. καὶ αἱ μὲν πρὸς τὸν Ἥλιον*
κϛ'* *τῶν ἀστέρων γινόμεναι δορυφορίαι* ἐν ταῖς προηγουμέ-* 15
*ναις μοίραις καὶ τοῖς προηγουμένοις ζῳδίοις τοῦ Ἡλίου
εἰσίν, ἕως τῆς τριγώνου πλευρᾶς. αἱ δὲ πρὸς τὴν Σελήνην
ἐν ταῖς ἑπομέναις αὐτῆς μοίραις, ἕως τοῦ ἑξῆς ζῳδίου
τετεύχασι.*

Τότε δὲ αἱ πρὸς τὸν Ἥλιον γινόμεναι τῶν ἀστέρων 20
*δορυφορίαι ἐνεργεῖς καὶ ἰσχυρότεραι ὑπάρχουσιν, ὅταν
ἐν τῷ αὐτῷ ζῳδίῳ ἑῷοι ἀνατολικοὶ σὺν Ἡλίῳ ἐν τοῖς*
κζ'* *ἐπικαίροις τόποις* τῆς γενέσεως χρηματίσαντες εὑρεθῶ-*
κη'* *σι, τῆς αἱρέσεως ὄντες ἢ οἰκοδέκτορες* τοῦ Ἡλίου ὑπ-
άρχοντες· ὁ δὲ αὐτὸς τρόπος καὶ ἐπὶ τῆς Σελήνης δραστι-* 25
κώτερος καὶ ἐνεργέστερος νοείσθω.

p. 31,1 cf. Mich. Pap. 149 col. XI; XII; CCAG VII, p. 119 ss.; v. B—L p. 111 || ad p. 32,8 cf. CCAG II, 174, 3

2 *λέγ.* LZ: *λ. οὖν* βγ || **4** *ι̅ε̅* Z: om. βγ | *μοίρ. τ. Ἡλ.* Zβ: *τ. Ἡλ. μοίρ.* γ || **5.6** *ἐν τ. ἑπ. μοίρ.* om. Z || **7** *μοίρ. ι̅ε̅* LZ: *ι̅ε̅ μ.* βγ | *διασαφηνίσαι* LD: *διασαφῆσαι* Zβγ || **10** *ἐν* Z: om. Lβγ || **11** post *αἱ δὲ* usque ad *τούτων ὁ* p. 33, 11 fol. vac. Z, qui add. i. mg.: *Πρόχειρος Πτολεμαίου Κανὼν παραστήσει* (p. 33,11 s.) || **15** post *δορυφορίαι* fin. L || **19** *τετ.* γ: *τυγχάνουσιν* β || **20** *αἱ* βγ: om. Sch || **22** *αὐτῷ*: *αὐτῶν τούτων* 𝔉 || **23** *ἐπικαίροις* Yβγ, an *ἐπικέντροις*?

G2 ## ⟨ιε'⟩ *Περὶ στηριγμῶν*

Διάφοροι δὲ οἱ στηριγμοὶ τῶν ἀστέρων καὶ οὐχ οἱ
αὐτοὶ γίνονται. ὁ μὲν τοῦ Κρόνου καὶ τοῦ Διὸς καὶ τοῦ
Ἄρεως ἀποδιαστάντες τοῦ Ἡλίου πλέον ἢ ἔλαττον μοι-
5 *ρῶν ρκ̅ καὶ κατὰ τὸ δεξιὸν αὐτοῦ τρίγωνον φανέντες τὸν*
πρῶτον στηριγμὸν ποιοῦνται, καὶ βραδυτέρως κινούμενοι
κατὰ τὴν αὐτὴν μοῖραν εἱλοῦνται, ἕως ἂν ὑποποδίσαντες
τοῖς ἀριθμοῖς ἀφαιρετικοὶ γένωνται τοῦ πρώτου αὐτῶν* *κθ'
στηριγμοῦ ἐπὶ τὴν τῶν ἀριθμῶν ἀφαίρεσιν τρεπομένου,
10 *τοῦ δὲ δευτέρου ἐπὶ πρόσθεσιν. καὶ καθολικῶς* δὲ ἀφαι-* *λ'
ρετικοὶ τοῖς ἀριθμοῖς οἱ προειρημένοι τρεῖς ἀστέρες γί-
νονται, ὅταν ϛ̅ ἢ ζ̅ ἢ η̅ ζῴδια τοῦ Ἡλίου ἀποδιαστῶσι·
καὶ κατὰ διάμετρον αὐτοῦ φανέντες εἴσω μοιρῶν ρπ̅,
ὅπερ ἐστὶ ζῴδια ζ̅, ἀπὸ τῆς ἡλιακῆς ἀκτῖνος ἀκρόνυκτον
𝔉2 *τὴν φάσιν ἔχουσι* καὶ ἀναποδίσαντες ἐπὶ πλεῖον τοῖς* *λα'
16 *ἀριθμοῖς ἀφαιροῦσι καὶ τῇ αὐτῶν περιφερείᾳ μείζους*
φαίνονται ἀπὸ τῆς τοῦ Ἡλίου ἀκτῖνος τὸ διαυγὲς φῶς
λαμβάνοντες. στηριγμὸς δὲ γίνεται δεύτερος τῶν προ-
ειρημένων ἀστέρων, ὅταν εἰς τὸ ἑπόμενον μέρος τῆς τοῦ
20 *Ἡλίου ἀκτῖνος ἀποδιαστῶσι πλεῖον ἢ ἔλαττον μοιρῶν*
ρκ̅ ἐν τῷ εὐωνύμῳ τριγώνῳ τοῦ Ἡλίου τετευχότες οἱ
ἀστέρες καὶ ἀρξάμενοι προποδίζειν ἐπὶ τούτου τοῦ σχή-
ματος ταχυτέραν τὴν κίνησιν ποιοῦνται προσθετικοὶ τοῖς
ἀριθμοῖς γινόμενοι, ὅθεν οἰκείως ἐκλήθησαν στηριγμοί.
25 *ὁ μὲν οὖν πρῶτος ἀπὸ τοῦ ἑστάναι τοὺς ἀστέρας καὶ*
ἀναποδίζειν αὐτοὺς ἀφαιροῦντας τοῖς ἀριθμοῖς ἐκλήθη
στηριγμὸς ἀφαιρετικός. ὁ δὲ δεύτερος ἀπὸ τοῦ ἑστάναι
καὶ προστιθέναι εἰς κίνησιν ταχυτέραν τοῖς ἀριθμοῖς
ἐκλήθη στηριγμὸς προσθετικός. ἀκρόνυκτοι δὲ λέγονται,
30 *ἐπειδὴ κατὰ διάμετρον τοῦ Ἡλίου τυχόντες μετὰ δύσιν*
αὐτοῦ ἀνατέλλουσι. μόνος δὲ ὁ τοῦ Ἄρεως ἀστὴρ ἀνω-

1 Inscr.: *Π. στ.* βγ: om. Y | cap. om. Z, v. p. 30,11, decurtat Y || **2** *διάφ.* Yβ Hel.: *ἐνδιάφοροι* γ || **4** *ἀποδιαστ.* Y: *ἀποστάντες* βγ || **6** *βραδέως* β || **12** *ἀποστῶσι* β || **17** post *ἀκτ.* add. *ὥσπερ καὶ ἡ* ☾ Y || **20** *διαστῶσι* β || **21** *τετ.* γ: *τυγχάνοντες* β: *ὄντες* Y || **21. 22** *οἱ ἀστέρες* om. β || **24** *γιν.* YβD𝔉: rubr. suprascr. *ἐπὶ τοῦ ζῳδιακοῦ* 𝔏: ante *γιν.* pon. Sch || **28** *ἀριθ.* YSch: *ἀρ. προστιθεὶς* βγ

λβ'* μάλως* κινεῖται, ὅταν στηρίζειν μέλλῃ. καὶ τὴν μὲν πρώ-
την ἀνωμαλίαν ποιεῖται, ὅτε ἑῷος ἀνατολικὸς ὢν διίστα-
ται τοῦ Ἡλίου μοίρας $\overline{πβ}$ ἐπὶ τὸν πρῶτον στηριγμὸν φερό-
μενος, τὴν δὲ δευτέραν, ὅταν ἑσπέριος ἀνατολικὸς φαίνη-
ται τὰς αὐτὰς $\overline{πβ}$ μοίρας διεστηκὼς τοῦ Ἡλίου ἀπὸ τοῦ 5
δευτέρου στηριγμοῦ φερόμενος καὶ τοῖς ἀριθμοῖς προστι-
λγ'* θείς. ἐκλήθησαν δὲ ἀνώμαλοι*, ὅτι ἀνωμάλως τὴν κί-
νησιν ποιεῖται ὁ ἀστὴρ ἐπὶ τούτων τῶν σχημάτων| καθε- G3
στώς· πάντοτε δὲ ὁ ἀστὴρ οὗτος εἴτε τὴν πρώτην ἀνω-
λδ'* μαλίαν ποιεῖται εἴτε τὴν δευτέραν, ἐπὰν* τὸν Ἥλιον 10
κατοπτεύσῃ, τὴν πατρικὴν περιουσίαν ἐρημοῖ καὶ αὐτῷ
τῷ πατρὶ ὀλέθριος γίνεται. πρὸς τούτοις δὲ καὶ σινῶν ἢ
παθῶν αἴτιος γίνεται, μάλιστα δὲ περὶ ὀφθαλμούς, ἢ
φρενοβλαβείας. τὰ δὲ πάθη καὶ περὶ τόν πατέρα ἐστὶ ἢ
περὶ αὐτὴν τὴν γένεσιν. εἰ μὲν γὰρ βοηθῆται ὁ Ἥλιος 15
ὑπ' ἀγαθοποιῶν, οἷον Διὸς ἢ Σελήνης, σχηματιζόμενος
ὑπ' αὐτῶν ἢ ἐπίκεντρος ⟨ᾖ⟩ ἢ ἐν ἀγαθοποιοῖς, τότε μὲν
ὁ πατὴρ ἀβλαβής ἐστι, περὶ τὴν γένεσιν τὴν βλάβην
ἀποσκέψει, περὶ τὴν ὄψιν καὶ τὸ ἡγεμονικόν, τούτων γὰρ
κύριος ὁ Ἥλιος. εἰ δὲ ὁ Ἥλιος μὲν κακωθῇ, ὁ δὲ ὡροσ- 20
κόπος βοηθῆται, ὁ πατὴρ ἀναιρεῖται, καὶ γὰρ ἀναλογεῖ
ὁ μὲν Ἥλιος τῷ πατρί, ὁ ὡροσκόπος τῷ γενομένῳ· τὸ δ'
αὐτὸ καὶ ἡ Σελήνη παθοῦσα περὶ τὴν μητέρα ποιεῖ. ὁ δὲ τῆς
Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ ἐπὶ τῆς τῶν στηριγμῶν κινή-
σεως διάφορον τὴν παραλλαγὴν ἔχουσι. στηριγμὸς γὰρ 25
γίνεται πρῶτος ἐπὶ τῶν δύο τούτων ἀστέρων ἐν διαφό-
ροις μοίραις. καὶ ὁ μὲν στηρίζει, ὅταν εἰς τὸ ἑπόμενον
μέρος τοῦ Ἡλίου ἀποδιαστῇ μοίρας $\overline{μη}$. τότε γὰρ ἄρχεται
ἀναποδίζειν καὶ ἀφαιρεῖν τοῖς ἀριθμοῖς, βραδυτέραν τὴν
κίνησιν ποιούμενος, ἄχρις ἂν τῷ Ἡλίῳ συνοδεύσας εἰς 30

7 ἀνώμαλοι Y: ἀνωμαλίαι β: ἀνωμαλίαν γ || 7.8 τ. κίν. π. γ: κινεῖ-
ται Yβ || 8 καθεστώς om. Y || 9 πάντοτε βγ: ἀεὶ Y || 11 πε-
ριουσίαν Yγ: om. β || 12 ὀλέθριος Yγ: ὄλεθρος β || 13 αἴτιος γίνε-
ται Y: om. βγ || 14 τὰ—καὶ Y: τὴν κάκωσιν ποιεῖται τῆς αἰτίας
ἐσομένης, ὅτε μὲν β(τῆς—ἐσ. om.) γ || 14 ἐ. ἢ Y: ὅτε δὲ βγ ||
15 εἰ μὲν—23 ποιεῖ Y: om. βγ || 25 διάφορον Y: ἐνδιάφορον βγ
(cf. p. 31, 2) || 28 ἀποστῇ β

ἑῴαν ἀνατολὴν καταντήσῃ καὶ τὰς αὐτὰς μη̄ μοίρας ἀποδιαστῇ τοῦ Ἡλίου καὶ τὸν δεύτερον στηριγμὸν ποιήσηται.
§ 3 Ὁ δὲ τοῦ Ἑρμοῦ ἀστὴρ ποιεῖται τὸν πρῶτον στηριγμόν, ὅταν ἐν τῷ ἑπομένῳ ζῳδίῳ τοῦ Ἡλίου ἀποδιαστῇ μοίρας
5 κβ̄. καὶ τότε ἄρξηται ὁμοίως ἀναποδίζειν, βραδυτέραν τὴν κίνησιν ποιούμενος, ἄχρις ἂν τῷ Ἡλίῳ συνοδεύσας ἐπὶ τὴν ἑῴαν ἀνατολὴν καταντήσῃ καὶ τὰς αὐτὰς κβ̄ μοίρας ἀποδιαστῇ τοῦ Ἡλίου καὶ τὸν δεύτερον στηριγμὸν ποιήσηται. ὁ μὲν τῆς Ἀφροδίτης οὐκ ἀφίσταται τοῦ Ἡλίου
10 πλεῖον ζῳδίων δύο, ὁ δὲ τοῦ Ἑρμοῦ μέχρις ἑνὸς ζῳδίου. Τὴν δὲ ἀκρίβειαν τούτων ὁ Πρόχειρος Κανὼν* Κλαυδίου Πτολεμαίου παραστήσει. * λε'

⟨ις'⟩ Περὶ ὧν ποιεῖται σχημάτων ἡ Σελήνη πρὸς τὸν Ἥλιον

15 Τὰ δὲ τῆς Σελήνης σχήματα, ἅπερ καλεῖται φάσεις*, εἰσὶν δέκα· σύνοδος, γέννα, ἀνατολή, μηνοειδής, διχότομος, ἀμφίκυρτος, πανσέληνος, ἀμφίκυρτος πάλιν καὶ διχότομος δευτέρα, καὶ μηνοειδής. τινὲς δὲ καὶ ια' φάσιν αὐτῆς λέγουσιν, καλοῦντες αὐτὴν πλησιφαῆ ἢ πλησισέλη-
§ 4 νον. καὶ σύνοδος μέν ἐστιν, ὅταν ἡ Σελήνη ἰσόμοιρος τῷ
21 Ἡλίῳ κατὰ τὸ αὐτὸ ζῴδιον τύχῃ, γέννα δέ, ὅταν τὸν Ἥλιον παρέλθῃ μοῖραν μίαν, ἀνατολὴ δέ, ὅταν μοίρας ιε̄ παραλλάξῃ, μηνοειδὴς φαίνεται πρώτη, ὅταν ἡ Σελήνη εἰς τὸ ἑπόμενον μέρος τοῦ Ἡλίου ἀποδιαστῇ μοίρας
25 ξ̄, ἐπὶ τῆς ἑξαγώνου πλευρᾶς ὑπάρχουσα, διχότομος δὲ * λς'


11 s. cf. Ptol. Synt. XII, 8 || **13 ss.** cf. Cleomed. II 5; Ptol. Ap. I 8; Porph. c. 2 (p. 191, 28–193, 9); Rhet. IV p. 203; CCAG IV, p. 142 ss.; ib. VII, p. 116 et adn. 1; v. B–L 166, 1

1. 2 διαστῇ β || **4** διαστῇ β || **5** post κβ̄ add.: κατὰ τὸ ἑπόμενον μέρος Y || **7** μοί. κβ̄ pon. Yβ || **8** διαστῇ β || **11. 12** τὴν—παραστ. Zβγ: om. Y || **11** Πρόχ. Zγ: om. β | Κ. Κλ. Πτ. γ: Πτ. Κ. Z (cf. app. cr. p. 30, 11) β || **13** Inscr.: Περὶ—Ἥλ. Zβγ: περὶ τῶν σχημάτων τῆς Σελήνης L (qui sensu non verbis concordat): om. Y || **15** φάσις Z || **16** εἰσὶν δέκα LY: ἐστὶ τάδε Zβγ || **16–18** μην.—καὶ μην. LY: μηνοειδεῖς δύο (μηνοειδὴς α', μην. β' βγ), διχότομοι β̄, ἀμφίκυρτοι β̄, πανσέληνος Zβγ || **18. 19** καὶ[2]—ἢ LY: βούλονται καὶ ια' φάσιν προστιθέναι (προσθεῖναι β) τὸ (καὶ Z) Zβγ || **24** διαστῇ β || **25** τῆς—ὑπάρχ. Z: ἑξαγωνικοῦ σχήματος καθεστῶσα βγ: ἑξαγώνου δηλονότι σχήματος οὖσα LY

ἐστι πρώτη, ὅταν ἡ Σελήνη εἰς τὸ ἑπόμενον μέρος τοῦ Ἡλίου ἀποδιαστῇ μοίρας ϙ̅ ἐπὶ τετραγώνου πλευρᾶς ὑπάρχουσα. ἀμφίκυρτος δέ ἐστι πρώτη, ὅταν ἡ Σελήνη εἰς τὸ ἑπόμενον μέρος τοῦ Ἡλίου ἀποδιαστῇ μοίρας ρ̅κ̅, ἐπὶ τριγώνου πλευρᾶς καθεστῶσα, πλησισέληνος δέ, ὅταν ἀπὸ ϛ̅ ζῳδίων, μοίρας δὲ ρ̅ν̅, ἐν τοῖς ἑπομένοις τοῦ Ἡλίου τυγχάνῃ μήπω τὴν διάμετρον ποιησαμένη· πανσέληνος δέ ἐστιν, ὅταν εἰς τὰ ἑπόμενα τοῦ Ἡλίου ἀποδιαστῇ ἡ Σελήνη μοίρας ρ̅π̅ ἐπὶ διαμέτρου στάσεως καθεστῶσα, ὃ καλεῖται πανσεληνιακὸς σύνδεσμος. ἀπόκρουσις δέ ἐστιν, ὅταν ἡ Σελήνη παραλλάξῃ τὴν κατὰ διάμετρον ἡλιακὴν μοῖραν μίαν, καλεῖται δὲ μείωσις ἕως H1 *μοιρῶν ξ̅. ἀμφίκυρτος δέ ἐστι δευτέρα, ὅταν ἐκ τοῦ ὄπισθεν μέρους τοῦ Ἡλίου ἀποδιαστῇ μοίρας ρ̅κ̅, ἐπὶ τριγώνου πλευρᾶς καθεστῶσα. διχότομος δέ ἐστι δευτέρα, ὅταν πάλιν ἡ Σελήνη ἐκ τοῦ αὐτοῦ μέρους τοῦ Ἡλίου ἀποδιαστῇ μοίρας ϙ̅ ἐπὶ τετραγώνου πλευρᾶς ὑπάρχουσα. μηνοειδὴς δέ ἐστι δευτέρα, ὅταν ἐκ τοῦ ὄπισθεν μέρους τοῦ Ἡλίου ἀποδιαστῇ μοίρας ξ̅ ἐπὶ ἑξαγώνου σχήματος, ὅθεν οἰκείως κατὰ τὴν τῶν σχημάτων ἐναλλαγὴν καὶ τὰς ὀνοματοποιίας ἔσχε. σύνοδος γὰρ ἐκλήθη ἀπὸ τοῦ συνιέναι τῷ Ἡλίῳ τὴν Σελήνην καὶ τὴν αὐτὴν αὐτῷ ὁδὸν τροχάζειν. γέννα δὲ ἐκλήθη ἀπὸ τοῦ ἐξιέναι τοῦ Ἡλίου τὴν Σελήνην, ἐπεὶ παραλλάξασα αὐτὸν μοῖραν*

2 *διαστῇ* β || **3** *ἡ Σελ.* Z: om. LYβγ || **7** *διαμ.* Zγ: *καταδιάμετρον στάσιν* [sic] β || **8** *ἐστιν* Zγ: om. LYβ | *εἰς—ἀποδ.* Zγ: *διαστῇ τοῦ Ἡλίου* β | *τὰ ἑπόμενα* LY: *τὸ ἑπόμενον μέρος* Zβγ || **10** *καθεστῶσα* Zβ: om. LYγ | *ὃ—σύνδεσμος* om. β || **12** *μίαν* ZY: om. βγ | *καλ. δὲ* LY: *ὃ καλ.* Zγ: om. β | *μείωσις ἕως* ZY: *μειώσεως* γ: om. β || **13** *μοιρῶν ξ̅* ZYD: *μοίρας ξ̅ λ′* γ: *μ. ζ̅ λ′* β || **13—21** *ἀμφ.—ἔσχε* Zβγ: *αἱ δὲ ὁμώνυμοι τῶν σεληνιακῶν σχημάτων δεύτεραι φάσεις τὴν ἀναλογίαν πρὸς τὰ ἔμπροσθεν τοῦ Ἡλίου λαμβανόμεναι ὁμοίως κατὰ μοῖραν διασώσουσιν, ἄλλαι μὲν ἄλλας φάσεις κατάδηλον ἔχουσιν τὴν αἰτίαν τῆς ὀνομασίας* LY || **14** *διαστῇ* β || **16** *πάλιν ἡ Σ.* Z: om. βγ || **16—18** *ἐκ τοῦ—ὅταν* om. Z | *ἐκ—μέρους* γ: *ἐπὶ τὰ ἡγούμενα* (*προηγούμενα* 𝔅) β || **17** *ἀποδ.* γ: *διιστῆται* β || **18** *ἐκ—μέρους* Zγ: *ἐπὶ τὰ ἡγούμενα* β || **19** *ἀποδ.* Zγ: *διιστῆται* β || **21** *τὰς ὀνομ.* Zγ: *τὰ ὀνόματα* β | *σύνοδ.*—p. 35, 9 *φαίν.* hic om. LY, cf. p. 35, 14 | *σύνοδος*—p. 35, 16 *ἔχει* om. β || **22** *συνιέναι* γ: *συντεῖναι* [sic] Z || **23. 24** *ἀπὸ—Σελ.* Z: om. γ

μίαν ἄρχεται φαίνεσθαι τῷ κόσμῳ, οὐχ ὡς πρὸς ἡμᾶς. ἀνατολὴ δέ, ὅταν παρελθοῦσα μοίρας ιε̅ γραμμοειδὲς φῶς ἀναλαβοῦσα φαίνηται. μηνοειδὴς δὲ ἐκλήθη, ἐπειδὴ τὴν ὁμοίαν αὐτῆς ἰδέαν ἀναλαβοῦσα φαίνεται· αὐτὴ γὰρ ἡ
5 *Σελήνη μήνη ἐστίν, ἐπειδὴ καὶ μηνιαίαν τὴν ἀνατολὴν*



ποιεῖται. διχότομος δὲ ἐκλήθη, ἐπειδὴ καθ' ἡμίσειαν τοῦ τελείου φωτὸς γενομένη διχοτομιαία φαίνεται. ἀμφίκυρτος δὲ ἐκλήθη, ἐπειδὴ ἐξ ἀμφοτέρων τῶν μερῶν κυρτοειδὴς ἡ θεωρία τοῦ φωτὸς αὐτῆς φαίνεται· πλησισέλη-
10 *νος δὲ ἐκλήθη ἀπὸ ϛ′ ζῳδίου φανεῖσα*, πανσέληνος δέ, ὅτι πεπλήρωται τῷ φωτὶ ἀπὸ τῶν τοῦ Ἡλίου αὐγῶν, κατὰ διάμετρον στάσιν αὐτοῦ φανεῖσα, ἅπαν τὸ σέλας τοῦ φωτὸς πεπληρωμένον ἔχουσα, ὅθεν καὶ αὐτὴ ὁμοία αὐτῷ* * λζ′
𝔊 1 *κυκλοειδὴς φαίνεται, πανσέληνος γενομένη. ἀποκρουστικὴ*
15 *δὲ ἐκλήθη, ἐπειδὴ παραλλάξασα τὰς κατὰ διάμετρον ἀκτῖνας ἀπὸ τότε ἐκκρουσμὸν καὶ μείωσιν τῶν φώτων αὐτῆς ἔχει.*

1 *τῷ κόσμῳ* Z: om. γ ‖ **3** *φαίνηται* γ: *φαίνοιτο* Z | *μην.* Zγ: *μονοειδὴς* D ‖ **7** *τελ.* Z: om. γ ‖ **9** *πλησισ.* Zγ: *προσέληνος* D ‖ **10** *ἀπὸ* Zγ: *ἐπειδὴ ἀ.* LY | *ζῳδ.* γ: *ζ. αὐτοῦ* Z: *ζῳδίων αὐτῶν* D | post *φαν.*: add. *κυκλοειδὴς φαίνεται* LY ‖ **11—13** *φωτὶ—ἔχουσα* Zβγ: *ἡλιακῷ φωτὶ ὅλη πᾶν τὸ ἐκείνου σέλας εἰσδεξαμένη* LY ‖ **12** *στάσιν αὐτοῦ* Z: *αὐτῷ (αὐτῶν* D) *στάσιν* γ | *ἅπ. τὸ σέλας*: *ἁπαντὸς ἔλας* 𝔊 ‖ **13. 14** *αὐτὴ* u. ad *φαίν.* ZDγ: *ὁμοία φαίνεται αὐτῷ* LY ‖ **14** *πανσ.* (*δὲ* add. D) *γεν.* ZD: om. LYγ | hic add.: *καὶ γέννα δὲ ἐκλήθη, ὅτι μοίρας α̅ παραλλάξασα τὸν Ἥλιον ἄρχεται φαίνεσθαι, εἰ καὶ μὴ πρὸς ἡμᾶς. ἀνατολὴ δέ, ὅτι παραλλάξασα μοιρῶν ιε̅ εἴδη ἄρχεται φαίνεσθαι πρὸς ἡμᾶς, γραμμοειδὲς φῶς ἔχουσα* LY ‖ **16** *φώτων* LZYD: *φωτισμῶν* γ

⟨ιζʹ⟩ *Περὶ ἧς ποιεῖται ἀπορροίας καὶ συναφῆς ἡ Σελήνη πρὸς τοὺς περιπολοῦντας ἀστέρας* H2

Τοῦ περὶ συναφῆς καὶ ἀπορροίας λόγου πολυτρόπου τετευχότος ἀναγκαῖόν ἐστι παραστῆσαι τὴν τούτου διδασκαλίαν. ἔχει δὲ οὕτως· μεθ' οὗ δ' ἂν ἀστέρος ἡ Σε- λήνη τύχῃ πλειονομοιροῦσα κατὰ τὸ αὐτὸ ζῴδιον, ἀπὸ τούτου τὴν ἀπόρροιαν πεποίηται, ὥσπερ δ' ἂν καὶ ὃς τῶν ἀστέρων σὺν τῇ Σελήνῃ ἐπὶ τοῦ αὐτοῦ ζῳδίου ὑπάρχων πλείονας αὐτῆς μοίρας ἔχων χρηματίσῃ, αὐτὸς τὴν συναφὴν αὐτῆς ἐπιδέχεται. τῷ δὲ αὐτῷ τρόπῳ καὶ ἐὰν ἐπὶ τοῦ ἑπομένου ζῳδίου ἢ τοῦ προηγουμένου τῆς Σελήνης εὑρεθῶσιν οἱ ἀστέρες εἴσω τῆς τριακονταμοιρίας ὑπάρχοντες τὸν τῆς ἀπορροίας καὶ συναφῆς λόγον ἴσχουσιν. 5 10

Εἰκόνος χάριν· τῆς Σελήνης οὔσης ἐν Τοξότου μοίρᾳ κʹ, τοῦ δ' Ἄρεως ἐν Σκορπίου μοίρᾳ κʹ καὶ τοῦ τῆς Ἀφροδίτης ⟨ἐν⟩ Αἰγοκέρωτος μοίρᾳ κʹ, λέγομεν τὴν μὲν ἀπόρροιαν τῆς Σελήνης γεγενῆσθαι ἀπὸ τοῦ Ἄρεως, τὴν δὲ 15

1ss. cf. Antioch. CCAG VII, p. 107ss.; 116s.; Ptol. Ap. I 24; Porph. c. 11, 12, 13; Vett. Val. I 2 (p. 5, 12—16); Heph. I 14; cf. et CCAG V1, p. 212 et ib. VIII 1, p. 181ss.; v. B—L p. 245ss.; 245 adn. 3; 247 adn. 2

1.2 Inscr.: *Π.—ἀστ.* ZYβγ || **1** *ἀπ. καὶ συν.* ZYγ: *συν. κ. ἀπ.* β || **2** *περιπολ.* Z: *περιπολεύοντας* Y: *πλανωμένους* βγ | *ἀστ.* om. Y || **4ss.** textum decurtat Y || **4** *τετευχ.* Zγ Hel.: *τυγχάνοντος* β || **5** *οὗ* ZY: *οἷου* βγ | *δ'* Z: om. Yβγ || **6** *πλειονομ.* βγ: *πλεομοιροῦσα* Z: *πολυομ.* Y | *τύχ.—ζῴδ.* ZYγ: *ἐν τῷ αὐτῷ ζῳδίῳ πλ. τυγχάνῃ* β || **7** *δ' ἂν—ὃς* Z: *καὶ οἷος δ' ἂν* Y: *καὶ ὃς ἂν* βγ || **8** *σὺν—ζῳδ.* Zγ: *ἐ. τ. αὐτ. ζ. τῇ Σ.* (*σὺν* om.) pon. β | *ὑπάρχων* βγ: *ὑπάρχει* Z || **9** *πλείονας* βγ: *πλειόνων* Y: *πλείονα* Z | *αὐτῆς μοίρας* βγ: *μοῖραν αὐτῆς* Z: *αὐτῆς μοι* [sic] Y | *ἔχων* Zγ: *ἔχει* β: *σχέσῃ* Y | *χρημ.* om. β || **10** *ἐπιδέχηται* Z | *ἐπὶ* Zγ: *ἐν* β || **11** *τ. ἑπομ. ζ. ἢ* (*κἂν ἐπὶ* Y) *τ. προηγ.* ZY: *τῷ ἑπομένῳ ζῳδίῳ ἢ τῷ προηγουμένῳ* βγ || **12** *τριακοντ.* ZYβγ: *τριακοσταμοιρίας* D || **13** *ἀπ. κ. συν.* ZY: *σ. κ. ἀπ.* βγ | *λόγον* ZY: *ὅρον* βγ || **14** *εἰκ.—p. 37, 7. 8 Διὸς ἀστέρι* om. Yβ | *εἰκ.* ZD: *ὑποδείγματος* γ || **14** *ἐν—κʹ* γ: *μοίρᾳ κʹ ἐπὶ τοῦ Τοξότου* D: *μοιρῶν κʹ Τοξότῃ* Z || **15** *ἐν—μοίρᾳ* γ: *ἐπὶ τοῦ Σκορπίου μοιρῶν* ZD | *τοῦ* Z: om. γ || **16** *μοίρᾳ* γ: *μοιρῶν* Z | *μὲν* Z: om. γ

συναφὴν πρὸς τὸν τῆς Ἀφροδίτης ἀστέρα πεποιῆσθαι, οὕτως δὲ καὶ ἐπὶ τῆς κατὰ τὸ αὐτὸ ζῴδιον τῶν ἀστέρων σὺν τῇ Σελήνῃ γινομένης κατὰ συμπαρουσίαν εἴτε ἀπορροίας εἴτε συναφῆς πραγματευτέον. φέρε εἰπεῖν· Σελήνη
5 ἐστὶ Ταύρου μοίρᾳ ι', ὁ δὲ τοῦ Ἑρμοῦ μοίρᾳ θ', ὁ δὲ τοῦ Διὸς μοίρᾳ ια'. λέγομεν δὴ τὴν Σελήνην ἀπόρροιαν πεποιῆσθαι ἀπὸ τοῦ Ἑρμοῦ καὶ συνάπτειν τῷ τοῦ Διὸς ἀστέρι.

Ἀεὶ δὲ ὁ περὶ ἀπορροίας καὶ συναφῆς λόγος ἕως τῆς
10 τριμοιρίας* ἀπὸ πρώτης πραγματευόμενος ὑπεράγαν ἐνεργεῖ πρὸς τὸ τῶν ἀποτελεσμάτων εἶδος, δευτέρα δὲ ἡ ⟨διάστασις⟩ ἀπὸ πρώτης μοίρας τὸν ἀριθμὸν ἔχουσα ἕως τῆς ἑπταμοιρίας τῆς προειρημένης μοιρογραφίας, τρίτη δὲ κατ' ἐνέργειαν ἡ ἀπὸ πρώτης μοίρας ἕως τῆς ιε',
15 ⟨ἡ⟩ τετάρτη δὲ πραγματεύεται πρὸς τὸν περὶ ἀπορροίας καὶ συναφῆς λόγον ἀπὸ πρώτης μοίρας ἕως τῆς λ'. ⟨ἐκ τούτων δὲ τῶν⟩ διαστάσεων λαμβανομένη εἴτε ἀπόρροια εἴτε συναφὴ ὀψὲ τῶν χρόνων καὶ οὐκ ἀπὸ νεότητος τὴν ἐνέργειαν ἴσχει, λέγω δὲ ἀπὸ μέσης ἡλικίας ἢ καὶ ἐπὶ
20 τὸ γῆρας τὴν τῶν ἐσομένων εἴτε ἀγαθῶν εἴτε φαύλων ποιοῦσα τελευτήν.

* λη'

1 πεπ. Ζ: ποιεῖσθαι γ || 5 ἐ. Ταύρου μοίρᾳ γ: ἐπὶ Ταύρῳ μοιρῶν Ζ | δὲ[1] Ζ: om. γ | ὁ δὲ[2] γ: καὶ ὁ Ζ || 6 δὴ Ζ: om. γ || 9—21 Υ v. infra || 10 τριμ. βγ: τριτομοιρίας Ζ | ὑπεράγαν Ζ || 11 δευτέρα Ζ: δευτερεύει βγ | δὲ Υβγ: om. Ζ || 12 ⟨διάστασις⟩ add. || 13 τῆς πρ. μοιρογρ. βγ: τῇ προειρημένῃ μοιραφίᾳ [sic] Ζ 14 ἡ om. Ζ || 15 ⟨ἡ⟩ add.: καὶ Ζβγ | δὲ Ζ: om. βγ || 16 μοίρας Ζ: om. βγ | τῆς om. Ζ || 16. 17 ⟨ἐκ — τῶν⟩ add. || 17 διαστάσεων Ζ: διάστασις βγ || 17—21 εἴτε — τελ. hic pon. ΖΥ (decurt.) βγ: scholii loco pon. Sch, fortasse recte.

9—21 decurtat: ὅτι ὁ τῆς ἀπορροίας καὶ συναφῆς λόγος ἀπὸ α' μοίρας ἕως γ' ἐνεργέστερα ποιεῖ τὰ ἀποτελέσματα, δευτερεῖα δὲ ἡ ἀπὸ α' ἕως ζ', τρίτον ἡ ἀπὸ α' ἕως ιε', τέταρτον δὲ τῇ δυνάμει καὶ ἐνεργείᾳ ἡ ἀπὸ α' ἕως λ' καὶ ὀψὲ τῶν χρόνων καὶ [ἢ] ⟨οὐκ ἀπὸ⟩ νεότητος τὴν ἐνεργείαν ἴσχει Υ, qui pergit: καὶ αὐτῆς ☾ ἀπόρροια καὶ συναφὴ κατὰ συμπλήρωσιν ἀπὸ α' ἕως [ϛ'] ⟨γ'⟩ μοίρας ἄγαν καὶ θᾶττον ἐνεργεῖ ἐπὶ τῆς γενέσεως καὶ καταρχῆς, β' ἀπὸ α' ἕως ζ' δευτερεύει καὶ βραδύνει ὀλίγον, γ' ἀπὸ α' ἕως ιε' πολὺ βραδύνει, δ' ἀπὸ α' ἕως λ' κατὰ τέταρτον (sic) τάξιν ἐνεργεῖ καὶ πλεῖστα βραδύνει. τίθησι δὲ τῶν εἰρημένων ὁ Παῦλος καὶ ὑποδείγματα.

Χρησόμεθα δὲ καὶ ἑτέρῳ παραδείγματι πρὸς ἐπίγνωσιν τοῦ περὶ ἀπορροίας καὶ συναφῆς λόγου. φέρε εἰπεῖν· Σελήνη ἐπὶ Ζυγοῦ μοίρᾳ ιγ', ὁ δὲ τοῦ Ἄρεως μοίρᾳ ς', τοῦ Διὸς ὄντος ἐπὶ τοῦ αὐτοῦ ζῳδίου μοίρᾳ κ', ἀπέρ- S2 *ρευσεν ἡ Σελήνη τοῦ Ἄρεως καὶ συνῆψε τῷ τοῦ Διὸς* 5 *εἴσω τοῦ τῆς ἑπταμοιρίας λόγου.*

Τοῦ τῆς ἀπορροίας καὶ συναφῆς εἴδους καὶ κατὰ H3 *σχήματα καὶ κατὰ ἄνεμον πραγματευομένου, πῇ μὲν κατὰ τρίγωνον, πῇ δὲ κατὰ ἑξάγωνον, πῇ δὲ κατὰ τετράγωνον καὶ διάμετρον πρὸς τοὺς ἀστέρας λαμβανομένου,* 10 *χρηματίζει δὲ ἡ μὲν κατὰ τρίγωνον πλευρὰν συναφὴ εἴσω μοιρῶν ρ̄κ̄ ἢ καὶ ρ̄ῑζ̄, ἡ δὲ κατὰ ἑξάγωνον εἴσω μοιρῶν ξ̄ ἢ καὶ ν̄ζ̄, ἡ δὲ κατὰ τετράγωνον εἴσω μοιρῶν ς̄ καὶ π̄ζ̄, ἡ δὲ κατὰ διάμετρον εἴσω μοιρῶν ρ̄π̄ ἢ καὶ ρ̄ο̄ζ̄ εἴτε κατὰ δεξιὸν εἴτε κατὰ εὐώνυμον σχῆμα τῶν ἀστέρων πρὸς τὴν* 15 *Σελήνην ὑπαρχόντων.*

Ὑποδείγματος χάριν· ὡς ἐπὶ τῆς τριγώνου πλευρᾶς δεδόσθω τὴν Σελήνην μοίρᾳ ιε' εἶναι Κριοῦ, τὸν δὲ Δία Τοξότου μοίρᾳ ιη' ἢ καὶ ιε', λέγομεν τὴν συναφὴν τῆς Σελήνης κατὰ δεξιὸν τρίγωνον πρὸς τὸν τοῦ Διὸς γεγο- 20 *νέναι. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν λοιπῶν πλευρῶν τῆς Σελήνης πρὸς τοὺς ἀστέρας μοιρικῶς σχηματιζομένης* λθ'* *νοητέον, ἥδε κατὰ τὴν τοῦ ἀνέμου φορὰν* γινομένη πρὸς τοὺς ἀστέρας τῆς Σελήνης εἴτε ἀπόρροια εἴτε συναφὴ ἰδίαν ἔχει τὴν πραγματείαν τῆς Σελήνης ὁτὲ μὲν τὸν* 25 *αὐτὸν ἄνεμον ἀνερχομένης καὶ συγκατερχομένης τῇ τῶν περιπολούντων ἀστέρων πορείᾳ, ὁτὲ δὲ ἕτερον.*

1—27 *Χρησ.* — *ἕτερον* om. Y (cf. p. 37 infra) || **1** *καὶ* γ: om. Zβ | *ἑτέρῳ* Zγ: om. β | *παραδ.* βγ: ~~ὑπε~~*παραδείγματι* [sic] Z: *ὑποδείγμ.* D || **2** *περὶ* Z: *τῆς* βγ | *ἀπ. καὶ συν.* Z: *συν. κ. ἀπ.* βγ | *φέρε εἰπ.* Zγ: *ὑποκείσθω* β || **3** *ἐπὶ* Z: *ἐστί* βγ | *μοίρ. ς'* Z: *ἐκεῖσε μ. ς'* γ: *μ. ς' τοῦ αὐτοῦ* β || **7—16** in textu hab. D, sed i. mg. add. scholii numerum *ια'* || **7** *εἴδους* Zγ: *λόγου* β || **7. 8** *καὶ κ. σχήματα* Z: *κατὰ σχῆμα* βγ || **11** *μὲν* Z: om. βγ | *πλ. συν.* βγ: *πλευρὰ* Z || **15** *εἴτε* Z: *ἢ* βγ || **18** *ιε' εἶναι* Z: *εἶναι ιε'* βγ || **22** *σχημ.* Z: *συσχημ.* βγ || **26** *ἀνερχ.* βγ: *συναρχομένης* [sic] Z: *ἐνερχομένης* Sch

*Δίχα δὲ τοῦ περὶ ἀπορροίας καὶ συναφῆς λόγου οὐ πολυχρονιότης οὐκ ὀλιγοχρονιότης, οὐ πάθος, οὐ σίνος, οὐ πλοῦτος, οὐ δυστυχία, οὐ δόξα, οὐκ ἀδοξία, οὐκ ἀνδρεία οὐκ ἀσθένεια ἐπὶ γενέσεως καθέστηκεν.** *μ

5 *⟨ιη'⟩ Περὶ ἀνέμων προγνώσεως** *μα

Δυνατὸν ἐκ τῶν ἀπορροιῶν καὶ συναφῶν τῆς Σελήνης τῶν τριγώνων γινώσκειν τοὺς πνεῖν μέλλοντας ἀνέμους· εἰ μὲν γὰρ συναφὴν τὴν τριγωνικὴν ἢ τὴν ἀπόρροιαν τὴν τριγωνικὴν ἔχει ἡ Σελήνη πρός τινα ἀστέρα ἐν μὲν τῷ
10 *τριγώνῳ α' Κριοῦ, Λέοντος, Τοξότου, Ἀπηλιώτης ἔσται, ἐν δὲ τῷ β' τριγώνῳ Ταύρου, Παρθένου, Αἰγοκέρωτος, Νότος, ἐν δὲ τῷ γ' τριγώνῳ Διδύμων, Ζυγοῦ, Ὑδροχόου, λιβυκὸς γίνεται ἄνεμος, ἐν δὲ τῷ δ' τριγώνῳ Καρκίνου, Σκορπίου, Ἰχθύων, Βορρᾶς· πότερον δὲ ταρα-*
15 *χώδης ἢ εὔδιος ἐκ τῆς φύσεως τοῦ ἀστέρος γνώσῃ.*

*⟨ιθ'⟩ Περὶ τοῦ γνῶναι, πόσαι τῶν θεῶν ἡμέραι** *μβ'

*Τὸ τέταρτον** *τῶν ἀπὸ Διοκλητιανοῦ χρόνων, ᾧ ζητεῖς ἐνιαυτῷ, πρόσθες μετὰ καὶ δύο καθολικῶν, καὶ τὸν γινόμενον ἀριθμὸν μέρισον παρὰ τὸν ζ', καὶ* *μγ'

9ss. cf. Ptol. Ap. I 11 || 16 cf. Vett. Val. I 10; v. B—L p. 479 adn. 3; Boll, Hebdomas, RE VII 2, col. 2547ss., in primis cap. V col. 2556ss. | *θεῶν* cf. praef. p. XIII

1—4 in textu ZYβγ || 1 *δίχα δὲ* Zβγ: *ὅτι ἄνευ* Y || 3 *οὐ δόξα* om. Y | *οὐκ ἀδ.* Zβγ: *οὐ κακοδοξία* Y | *ἀνδρ.* Yβγ: *ἀνανδρία* Z || 4 *οὐκ ἀσθένεια* om. Z | *ἐπὶ* ZY: *περὶ* βγ | *καθεστήκει* Z || 5 hab. hoc cap. m^1 m^2 r z p u [t], cf. et Y awcgh: om. Zβγ || 7 *τ. τριγώνων*: *τ.* △ m^1 m^2: *τοὺς τριγώνους* Y | *καὶ τοὺς μέλλ. ἀν. πν.* pon. Y || 10 Δ$^{\omega\prime}$ (= *τριγώνῳ*) *α'* Y: *διὰ* m^1 m^2 || 11 *β'* Δ$^{\omega\prime}$ Y: *διὰ* m^1 m^2 || 12 *γ'* Δ$^{\omega\prime}$ Y: *διὰ* m^1 m^2 || 13 *λιβ.* cf. schol. 41 et Hel.: *δυτικὸς* m^1 m^2 Y || 14 *δ'* Δ$^{\omega\prime}$ Y: *διὰ* m^1 m^2 || 15 post *γνώσῃ* add. *κακωτικὸς γὰρ ἔσται ἢ ἀγαθός* Y || 16 cap. hab. Zγ: om. β: decurtat hoc et proximum cap. Y (f. 166), v. infra. p. 40 | Inscr. Zγ | *θεῶν* γ Hel.: *ἀστέρων* Z: *πλανωμένων ἑπτὰ ἀστέρων* Y | *ἡμέραι* Z: om. Yγ || 17.18 *ᾧ—ἐνιαυτῷ* Z: *οὗ — ἐνιαυτοῦ* γ || 19 *γιν.* Z: *γενόμενον* γ | *παρὰ τὸν* γ: *ἐπὶ τῶν* Z

τὰς καταλειπομένας ταύτας εἶναι τῶν θεῶν ἡμέρας λέγε.

Ὑποδείγματος χάριν· ζητῶ καιρὸν οὕτως τοῦ ϛδ' Διοκλητιανοῦ ἔτους, πόσαι τῶν θεῶν ἡμέραι γίνονται.
μδ' * Τὸ τέταρτον* αὐτῶν εὗρον κγ, ταύταις καὶ τὰς προειρη- 5
μένας καθολικὰς δύο μετὰ καὶ τῶν ϛδ συνήθροισα καὶ γεγόνασιν ριθ. ἐμέρισα παρὰ τὸν ζ', ἑπτάκις ῑ ō, ἑπτάκις ζ μβ, λοιπαὶ ζ. ταύτας εἶναι ⟨τὰς ἡμέρας⟩ τῶν θεῶν λέγομεν. ἐὰν δὲ εὑρεθῇ ὁ ἀριθμὸς πλήρης καὶ μηδεμία καταλειφθῇ, ἐξήμερον αὐτὴν καλοῦμεν. 10

⟨κ'⟩ Περὶ τοῦ γνῶναι ἑκάστην ἡμέραν, τίνος τῶν θεῶν ἐστιν

Τοὺς ἀπὸ Θὼθ μῆνας, ἕως οὗ ζητεῖς μηνός, διπλασιάσας πρόσθες τῷ ἀπὸ τῆς διπλώσεως γενομένῳ ἀριθμῷ τὰς
με' * εὑρεθείσας* τῶν θεῶν ⟨ἡμέρας⟩ κατ' ἐκεῖνον τὸν χρόνον· καὶ 15
τῷ συναχθέντι ἀριθμῷ ἐπιπρόσθες τὴν τοῦ μηνὸς ποστήν, καὶ τὸν γενόμενον ἀριθμὸν μερίσας παρὰ τὸν ζ'. τὰς καταλειφθείσας διέκβαλε ἀπὸ ἡμέρας Ἡλίου τῇ τῆς ἑβδομάδος τάξει διδοὺς ἑκάστῳ τῶν ἀστέρων ἡμέραν

10 ss. cf. Anonym. CCAG IV p. 99; cf. Interpretationes ab O. Neugebauer additas p. 135 s.

1 τῶν θεῶν γ Hel.: om. Z | ἡμέρας conieci: ἑτέρας Z (cf. Hel.): om. γ || **3** καιρὸν Z: om. γ | οὕτως Z: οὖν γ || **4** θεῶν γ: ἀστέρων Z | ἡμ. Z: om. γ || **5** τὸ Z: ποιήσας τὸ γ | αὐτῶν γ: αὐτῷ Z | ταύτ.—προειρ. Z: ταύταις προστίθημι γ || **6** καὶ[1] Z: om. γ || **6.7** συν.—γεγ. Z: γίνεται γ (γίνονται D) || **7** ἐμέρισα Z: μερίσας γ | ζ' γ: om. Z | ῑ ō ZD: ῑϛ γ || **7.8** ἑπτάκις ζ μβ ZD: ριβ γ || **8** τὰς ἡμέρας add. ex Hel. | θεῶν γ: ἀστέρων Z || **9** λέγομεν Z: λέγω γ || **9.10** ἐὰν—καλοῦμεν Z: om. γ || p. 39,16—p. 41,1 ὅτι παραδίδωσιν ἐν τῷ ιζ' κεφαλαίῳ, πῶς δεῖ εὑρεῖν πόσαι τῶν πλανωμένων ἑπτὰ ἀστέρων εἰσὶν καὶ ἐν τῷ ιη', ὅπως δεῖ εὑρεῖν ἑκάστην ἡμέραν, τίνος εἰσὶν τῶν πλανήτων ἀστέρος Y || cap. hab. Zγ: decurt. Y (v. supra): om. β: **11.12** Inscr. Zγ | τ. θεῶν ἐ. γ: ἐ. τῶν ἀστέρων Z || **13** τοὺς—μῆνας γ: τὰς ἀπὸ ἡμέρας Θ ὼθ Z | διπλ. τοὺς μῆνας Z || **14** πρόσθ. γ: supra τῷ pon. Z | τῆς δ. γ: τὰς διπλάσεως [sic] Z || **15** θεῶν γ: ἀστέρων Z || **17** γινόμενον Z | μερ.—ζ' γ: παρὰ τὸν ζ' μερίσας Z || **17.18** τὰς καταλειφθέντας [sic] Z

μίαν, καὶ εὑρήσεις, τίνος ἀστέρος ἐστίν, ἣν ζητεῖς ἡμέραν.

Ὑποδείγματος χάριν· ζητοῦμεν, τίνος ἡμέρα ἐστὶν ἐπὶ τῆς σήμερον ἡμέρας, ἥτις ἐστὶν κ' Μεχεὶρ ἔτους ἀπὸ
5 *Διοκλητιανοῦ ϛδ'*· ἐπεὶ οὖν ἀπὸ τοῦ Θὼθ ἕως τοῦ Μεχεὶρ* *μϛ'
γίνονται μῆνες ϛ, τούτους ἐπιδιπλοῦμεν καὶ γίνονται ιβ, εἴσι δὲ τῶν θεῶν κατὰ τόνδε τὸν ἐνιαυτὸν ζ. ταύτας προστιθέαμεν τῷ ἐπιδιπλωθέντι τῶν μηνῶν ἀριθμῷ καὶ γίνονται ιθ. ταύταις ταῖς ιθ ἐπιπροστιθέαμεν τὴν ζητου-
10 *μένην εἰκάδα τοῦ μηνός, γίνονται ἡμέραι λθ. ταύτας μερίζομεν παρὰ τὸν ζ', πεντάκις ζ λε. λοιπαὶ δ. ἀπολύομεν τὰς δ ἀπὸ ἡμέρας Ἡλίου καὶ μετροῦμεν ἀκολουθήσαντες τῇ τῆς ἑβδομάδος τάξει, τὴν πρώτην Ἡλίῳ λογιζόμενοι, καὶ τὴν δευτέραν Σελήνῃ διδόντες, τὴν τρίτην Ἄρει*
15 *ἀπονέμοντες, τὴν δὲ τετάρτην Ἑρμῇ· ἔστιν ἄρα ἡ ἀναδοθεῖσα κατὰ τὸν προκείμενον τρόπον ἡμέρα Ἑρμοῦ.*

⟨κα'⟩ Περὶ τοῦ πολεύοντος καὶ διέποντος

§ 3 *Τὸν πολεύοντα καὶ διέποντα ἐφ' ἑκάστης γεννήσεως καὶ ἐπὶ πάσης ἡμέρας σκοπεῖν δεήσει, διὰ τῆς τῶν*

3 cf. Interpretation. p. 136 || **7** *προστιθέαμεν* et **9** *ἐπιπροστιθέαμεν*, cf. Jannaris, Hist. Greek Grammar § 776 || **17** cf. CCAG IV p. 136ss.: *Ἡλιοδώρου ἐπίσκεψις τῶν πλανητῶν, πῶς κυριεύουσι τὰς ζ ἡμέρας τῆς ἑβδομάδος καὶ τὰς ιβ ὥρας.* de singulis hebdomadis dierum horis ib. VII p. 88ss.; p. 113s.; ib. XI 2, p. 125ss. cf. et Boll, Hebdomas, RE VII 2, col. 2560; 2572; cf. *πολεύοντας* etiam Mithraslit. ed. Dieterich[3] (1923) p. 6, 10

3—16 *ὑπ.—Ἑρμ.* om. Y || **4. 5** *ἀπὸ—ϛδ'* γ: *δ' Διοκλ.* Z || **5** *ἐπεὶ οὖν* γ: *ἐ. δὲ* D: *ἐπειδὴ* Z | *ἕως* γ: *μηνὸς ἕως* Z || **6** *τ. ἐπιδ.* γ: *τοῦτο ὅτι διπλοῦμεν* Z || **7** *δὲ* ZD: *καὶ* γ | *θεῶν* γ: *ἀστέρων* Z || **7. 8** *προστιθέαμεν* γ: *προστιθοῦμεν* Z || **8** *ἐπιδιπλουμένῳ* ZD || **9** *ταύταις* om. ZD | *ταῖς ιθ* om. Z | *ἐπιπροστ. ταῖς ιθ* pon. D | *ἐπιπροσθοῦμεν δὲ ταῖς ἡμέραις* Z | *ζητουμένην* γ: *ἣν ζητοῦμεν* Z || **10** *καὶ γίν.* Z | *ἡμέραι* om. Z || **11** *μερίζομεν* γ Hel.: *ἐπιμερ.* ZD | *παρὰ* Zγ: *ἐπὶ* D | *τὸν* Zγ: *τῶν* D || **15** *ἔστιν* γ: *ἔσται* Z || **15. 16** *ἀναδ. ἡμέρα* Z || **16** *ἡμ.* hic om. Z || **17** Inscr. LYZβγ || **18** *τὸν* L: *ὅτι τὸν* Y: *τὸν δὲ* Zβγ | *γενν.* LZ: *γενέσεως* Yβγ || **19** *δεήσει* ZYβγ: *δεῖ* L || add. Z i. mg. scholium, quasi evanidum: *πολεύων οἶμαι λέγεται ...* | *..ὡσανεὶ στηρίζοι ... ⟨πρὸς⟩* | *φαντασίαν, οὐδέ⟨ποτε⟩* | *γὰρ ἀστὴρ στηρίζει ...* | 5—11 evanidi | *δὲ ὑποποδ⟨ίζει⟩ ἀστὴρ* | *ἀφαιρετικ⟨ὸς⟩ ...* | *τοῖς ἀριθμοῖς*

*ἀστέρων σφαιρικῆς θέσεως, ἀκολούθως τῷ τῆς ἑπτα-
ζώνου στοιχειωτικῷ λόγῳ. δι' αὐτῶν γὰρ τὰς γινομένας
ἀθρόως συντυχίας ἐπί τε συνθηκῶν καὶ ἐπὶ ὑποσχέσεως
καὶ χάριτος καὶ δωρεᾶς ἔστιν συλλαβεῖν· ἐπί τε ἐπιτυχίας
χρήσιμος ἡ σκέψις αὕτη, συστάσεώς τε πρὸς ἄρχοντας* 5
*ἢ ὑπερέχοντα πρόσωπα, πρός τε δίκας ἢ συκοφαντίας
καὶ δεσμοὺς καὶ συνοχάς, ἐγκλήματα καὶ διαβολὰς καὶ
συμπλοκὰς καὶ ἀπώλειας καὶ κλοπὰς καὶ τὰς γινομένας
διαθήκας, ἐπί τε πλοῦ καὶ ἐμπορίας καὶ ὁδοιπορίας, μάχης
καὶ θορύβων καὶ κατακλίσεων καὶ τῶν τούτοις παρα-* 10
*πλησίων ἐπιγνωσόμεθα. συμβάλλεται δὲ καὶ ἰατροῖς
πρὸς ἐπίσκεψιν καὶ ἐν ταῖς τῶν νοσούντων καὶ ἐν
ταῖς τῶν χειρουργιῶν ἢ θεραπειῶν ἐπιβολαῖς πρὸς τὸ
ἀδιαπτώτως ἐν τοῖς προειρημένοις τὴν καταρχὴν ποιεῖσ-
θαι.* 15

*Ἔστι δὲ ἡ τάξις τῆς ἑπταζώνου ἔχουσα οὕτως· ὁ μὲν
τοῦ Κρόνου ἀστὴρ ἐκληρώσατο τὴν πρώτην καὶ ἀνω-*

15 *τῆς ἑπταζώνου* cf. Vett. Val. I 10 (p. 26, 10ss.); VI 7 (p. 256, 30–32); Julian. CCAG I, p. 134s.; cf. et. ib. XI 2, p. 125; 134. v. Boll, Hebdomas, cap. V col. 2556ss.; VI col. 2567; v. B–L p. 476ss.

2 *δι' αὐτῶν γὰρ* LY: *διὰ γὰρ τῆσδε τῆς πραγματείας* Zβγ ‖ 3 *ἐπί τε* LY: *εἴτε ἐπὶ* Zβγ | *συνθηκῶν* LYβγ: *συνθεῖναι* Z | *καὶ ἐπὶ* LY: *εἴτε* Zβγ ‖ 4 *καὶ*[1] LY: *εἴτε* Zβγ | *καὶ*[2] LY: *εἴτε* Zβγ | *ἔ. συλλ.* LY: om. Zβγ | *ἐπί τε* LY: *εἴτε* Zβγ ‖ 5 *χρ. ἡ σκ. αὕτη* LY: om. Zβγ | *συστ. τε* LY: *εἴτε σ.* Zβγ | *ἄρχοντα* Zβ ‖ 6 *ὑπερέχον* Z | *ἢ* Lβγ: *καὶ* ZY ‖ 7 *δεσμὸν* Z | *καὶ*[3] LY: *τε καὶ* βγ: om. Z | 8 *ἀπωλ. κ. κλ.*: *ἀποκοπὰς* Z ‖ 9 *συνδιαθήκας* β | *καὶ ἐμπ.* L: om. ZYβγ ‖ 10 *καὶ*[1] LY: *τε καὶ* Zβγ | *καὶ*[2] LY: *τε καὶ* Z: *ἢ* βγ | *θορύβου ὠνῆς τε καὶ κατακλύσεων* Z ‖ 11 *ἐπιγνωσ.* Lβγ: om. ZY | *συμβάλεται* LZ | *σ. δὲ—ἰατρ.*: *καὶ μὴν κ. ἰατρ. σ.* Y ‖ 12 *καὶ ἐν ταῖς*[1] Z: *καὶ δίαιταν* βγ: *τε* LY | *νοσούντων* LYZ: *νοσημάτων* βγ | *ἐν ταῖς*[2] Zβγ: *δίαιταν* LY ‖ 13 *τῶν χειρ.* Zβγ: *καὶ χειρουργίαν* LY ‖ 13. 14 *ἢ θερ.—ποιεῖσθαι* Zβγ: om. LY | 14 *ἀδιάπτως* β | *εἰρημένοις* β ‖ 14. 15 post *ποιεῖσθαι* add.: *χωρὶς δὲ ἀπορροίας καὶ συναφῆς οὐδὲν τὸ τυχὸν καθέστηκεν, περὶ δὲ τοῦ πολεύοντος καὶ διέποντος τὰ πάντα ἐπιγνωσόμεθα* 𝔟, qui hic fin. ‖ 16—p. 43, 15 hab. Zβγ: decurtat Y: om. L ‖ 16 Inscr.: *Περὶ τάξεως τῆς ἑπταζώνου* add. in mg. 𝔅[2] | *ἔστι — οὕτως* om. Y

K1 τάτην ζώνην, κατάψυχρον οὖσαν καὶ κειμένην ἐν τῷ
πάγῳ. ὁ δὲ τοῦ Διὸς τὴν δευτέραν, εὔκρατον καὶ θρεπτικὴν
καὶ ζῳογόνον ὑπάρχουσαν. ὁ δὲ τοῦ Ἄρεως τὴν
τρίτην καὶ διάπυρον ζώνην φθαρτικὴν τετευχυῖαν ἐκλη-
5 ρώσατο. ὁ δὲ Ἥλιος τὴν τετάρτην καὶ μεσαιτάτην ζώνην
τοῦ αἰθέρος εἴληχε, διάπυρον καὶ ζῳογόνον οὖσαν. ἡ
Ἀφροδίτη τὴν πέμπτην καὶ εὔδιον ζώνην κληρωσαμένη
σπορᾶς καὶ γονῆς αἰτία καθέστηκε. τὴν δὲ ἕκτην καὶ
ἐπίκοινον ζώνην ὑγρὰν οὖσαν ὁ τοῦ Ἑρμοῦ ἀστὴρ ἐκλη-
10 ρώσατο. τὴν δὲ ἑβδόμην, ὡσαύτως ὑγρὰν οὖσαν, καὶ
περιγειοτέραν ζώνην ἡ κραταιοτάτη Σελήνη λαχοῦσα καὶ
δεχομένη τὰς τῶν ἀστέρων ἀπορροίας, ὑψηλοτέρας αὐτῆς
ἐχόντων τὰς ζώνας, αὔξησιν καὶ μείωσιν τοῦ παντὸς ποι-
εῖται, διὰ τῆς ἰδίας εἰκόνος τὸν τῶν ἀνθρώπων βίον ἐν
15 ἀνωμαλίᾳ δεικνυμένη.

Ἡ δὲ μέθοδος τοῦ πολεύοντος καὶ διέποντος εἴτε ἐφ'
ἑκάστης ἡμέρας εἴτε ἐπὶ γεννήσεως τοιαύτη· διδόσθω
εἶναι ἡμέραν Κρόνου. αὐτὸς ὁ ἀστὴρ κύριος τῆς ἡμέρας
$\mathfrak{H}$4 γίνεται καὶ πολεύει ὅλην τὴν ἡμέραν, τὴν πρώτην ὥραν
20 αὐτὸς πολεύων καὶ διέπων· τὴν δευτέραν παραδίδωσι τῷ

11 cf. Boll, Lebensalter, Kl. Schr. p. 165, adn. 3

1. 2 *κατάψ.—πάγῳ* om. β || **2** *ὁ*: *τὴν* Z | *καὶ*[1]: *μὴ* Y | *θρ. οὖσαν* Y || **3** *ὑπ.* om. Y | *ὁ δὲ* ZVβ: om. γ || **4** *καὶ διάπυρον* Yβγ: *τὴν διάπειρον* Z | *τετ.* Zγ: *οὖσαν* Yβ || **4. 5** *ἐκλ.* Z: *κληρωσαμένου* γ: om. Yβ || **5** *μεσαιτάτην* ZY: *μέσην* βγ || **5. 6** *ζών.—εἴλ.* om. Y || **7** *τῆς Ἀφροδίτης* Z | *κληρ.* γ: *ἥτις* Z: om. Yβ || **8** *σπορᾶς οὖσαν καὶ* Y | *αἴτ.* γ *Ἀν*: *κυρία* Z: *αἰτίαν* β: *κυρίαν* Y | *καθ.* Zγ: om. Yβ || **9** *οὐ. ζ. ὑ.* pon. Z || **10—15** *τὴν δὲ—δεικν.*: *ἡ* ☾ *τὴν ζ' ὑγρὰν οὖσαν ὡσαύτως καὶ περιγειοτέραν, ἥτις δέχεται καὶ τὰς τῶν ἀστέρων ἀπορροίας* (*ὑψ.—δεικν.* om.) Y || **10** *ἑξῆς ἑβδ.* Z | *ὡσ.* om. β || **11** *περιγειοτέραν* Yγ: *περιγειοτάτην* Zβ | *ἡ κρατ. Σελ. λαχοῦσα* Zγ: *ἔλαχεν ἡ Σελ.* β || **11. 12** *καὶ δεχ.* βγ: *ἐκδεχομένη* Z || **12** *αὐτῆς* Z: *αὐτῶν* βγ: om. Y || **13** *ζών.* β: *ζ. ἐπιλαμβάνουσα* γ: *ζ. ἐπιλ. δὲ νυκτὸς* Z || **15** *δεικνῦσα* β || **16** *δι. κ. πολ.* pon. Y | *δι.* LY: *δι. ἀστέρος* Zβγ | *εἴτε* Zβγ: om. LY || **17** *γενν.* LZ: *γενέσεως* Yβγ | *τοιαύτη* LY: *πραγματεύεται τρόπῳ τοιῷδε* Zβγ | *διδόσθω* Zβγ: *διδόσθωσαν* LY || **18** *ἡμέραν* om. LY | *αὐτὸς ὁ ἀστὴρ* LZY: *ὁ αὐτὸς ἀ.* γ: *οὗτος οὖν ὁ ἀ.* β || **19** post *ἡμ.* add. *καὶ διέπει* LY || **20** *τὴν δὲ* β | *δίδωσι* β

Διί, καὶ λέγομεν τὴν δευτέραν ὥραν Κρόνου πολεύοντος,
Διὸς διέποντος. εἶτα τὴν τρίτην παραδίδωσι τῷ Ἄρει, καὶ
λέγομεν Κρόνου πολεύοντος, Ἄρεως διέποντος, τὴν τετάρ-
την Ἡλίῳ, Κρόνου πολεύοντος, Ἡλίου διέποντος, καὶ
τὴν πέμπτην Ἀφροδίτῃ, Κρόνου πολεύοντος, Ἀφροδίτης 5
διεπούσης, τὴν ἕκτην Ἑρμῇ, Κρόνου πολεύοντος, Ἑρμοῦ
διέποντος, καὶ τὴν ἑβδόμην Σελήνῃ, Κρόνου πολεύοντος,
Σελήνης διεπούσης· τὴν δὲ ὀγδόην αὐτὸς πάλιν ὁ Κρόνος
πολεύει καὶ διέπει, τὴν δὲ ἐνάτην Κρόνος πολεύει Διὸς
διέποντος· τὴν δὲ δεκάτην Κρόνος πολεύει Ἄρεως διέπον- 10
τος, τὴν δὲ ἑνδεκάτην Κρόνος πολεύει Ἡλίου διέποντος·
τὴν δὲ δωδεκάτην Κρόνος πολεύει Ἀφροδίτης διεπούσης.
καὶ τὴν νυκτερινὴν δὲ πρώτην ὥραν τῆς αἱρέσεως τῆς
νυκτερινῆς αὐτὸς πάλιν ὁ Κρόνος πολεύει καὶ Ἑρμῆς
ἀκολούθως διέπει, τὴν δὲ δευτέραν ὥραν Κρόνος πολεύει 15
Σελήνης διεπούσης, τὴν μέντοι τρίτην αὐτὸς πάλιν ὁ
Κρόνος πολεύει καὶ διέπει καὶ ἑξῆς, ἕως ἂν τῆς νυκτὸς

1 *τὴν β' ὥραν* om. β || **2** *εἶτα τὴν* LY: *τὴν δὲ* Zβγ | *παραδίδ.* L: om. ZYβγ || **2. 3** *καὶ λέγ.* LYβγ: *ὁμοίως* Z || **3** *τὴν* LZY: *τὴν δὲ* βγ || **3. 4** *τὴν—καὶ* om. Sch || **4** *Κρ. πολ. Ἡλ. διέπ.* Zγ: om. LYβ | *καὶ* LZ: om. βγ || **5. 6** *Κρ.—διεπούσης* Zβγ: om. LY || **6. 7** *Κρ. — διέπ.* Zβγ: om. LY || **7** *καὶ τ.* LY: *τὴν δὲ* βγ: *τὴν* Z || **7. 8** *Κρ.—διεπούσης* Z (*αὐτῆς* pro *Σελ.*) γ: *καὶ λέγομεν ἀναλόγως Κρόνου πολεύοντος καὶ τοῦδε διέποντυς* LY: *καὶ λέγομεν ἐφ' ἑκάστῃ τῶν ἑξῆς ὡρῶν Κρόνου πολεύοντος καὶ καθεξῆς ἑνὸς ἑκάστου τῶν ἀστέρων κατὰ τάξιν διέποντος* β | *τὴν δ. ὀ. αὐτ. πάλιν* Z: *τ. δ. ὀ π. αὐτ.* βγ: *πάλιν τὴν ὀ. αὐτ.* LY | *ὁ Κρόνος* β: om. LZYγ || **9** *τὴν δ. ἐν.* LYZγ: om. β | *Διὸς*: ♃ Z || **9. 10** *Κρ.—διέπ.* om. LY || **10—12** *τὴν δὲ δεκ.—Ἀφρ. διεπ.* Zγ: *καὶ ι' καὶ ια' καὶ ιβ' ἀναλόγως τοῖς προειρημένοις αὐτὸς πολεύει καὶ ἕκαστος τῶν ἐφεξῆς τὴν δοθεῖσαν αὐτῷ διέπει ὥραν ἐκείνου πολεύοντος* LY: *τὰς δ' ἑξῆς μέχρι τῶν ιβ ἕκαστος τῶν καθεξῆς ἀστέρων διέπειν λέγεται κατὰ τάξιν αὐτοῦ τοῦ Κρόνου ἐν πάσαις πολεύοντος* β || **13** *καὶ* LY: om. Zβγ | *νυκτερινὴν* LY: om. Zβγ | *ὥραν* LYZ: om. βγ || **13. 14** *τῆς—νυκτ.* LY: *τὴν* (*τῆς* Z) *κατὰ τὴν νυκτερινὴν αἵρεσιν τῶν ὡρῶν* (*γινομένης* add. Z) Zβγ || **14** *αὐτὸς πάλιν* LYZ: *π. αὐτ.* βγ | *ὁ Κρόνος* Zβγ: om. LY || **14. 15** *καὶ Ἑρ. — διέπει* LY: *ἀκολούθως* (om. β) *Ἑρμοῦ διέποντος* Zβγ || **15** *ὥραν* L: om. ZYβγ || **15. 16** *Κρ. — διεπ.* Zγ: *ἡ Σελήνη* LY: *Κρόνου πολεύοντος Σελήνη διέπει* β || **16** *μέντοι* LY: *δὲ* Zβγ | *τριτ.* LY: *τρ. τῆς νυκτὸς* Z (qui ♀ pro ☾ pon.) βγ || **16. 17** *ὁ Κρόνος* Z: om. LYβγ || **17** *ἐφεξῆς* Z

πληρωθείσης ἡμέρα Ἡλίου γένηται. τότε γὰρ πάλιν ὁ
Ἥλιος πολεύων καὶ διέπων ὅλην τὴν ἡμέραν καὶ μὴν καὶ
τὴν ἐφεξῆς νύκτα, ἔτι μᾶλλον ἰδίως τὴν πρώτην ὥραν
πολεύει καὶ διέπει, τὴν δὲ δευτέραν Ἡλίου πολεύοντος
5 λέγεται Ἀφροδίτη διέπειν, τὴν δὲ τρίτην Ἑρμῆς, τὴν δὲ
K2 τετάρτην Σελήνη, τὴν δὲ πέμπτην Κρόνος, τὴν δὲ ἕκτην
Ζεύς, τὴν δὲ ἑβδόμην Ἄρης, αὐτοῦ πάλιν τοῦ Ἡλίου τὴν
ὀγδόην πολεύοντος καὶ διέποντος· καὶ ἑξῆς ὁμοίως, ὡς
ἔχει ἡ ἀκολουθία.

10 ⟨κβ'⟩ Περὶ τῶν δωδεκατημορίων

Τὸ δὲ τῶν ἀστέρων δωδεκατημόριον καὶ οἱουδήποτε
κέντρου ἢ κλήρου πραγματευτέον οὕτως· οὗ ζητεῖς ἀστέ-
ρος ἢ κέντρου ἢ κλήρου τὸ δωδεκατημόριον, ἃς ἔχει
μοίρας, πολλαπλασίασον ἐπὶ τὸν ιγ' *, καὶ τὸν συναχθέντα * μζ

10 ss. cf. Rhet. I c. 18 (p. 154), qui laudat Paulum, Dorotheum, Ptolemaeum. in app. crit. Boll textum Rhetorii commentatus est, et eiusdem doctrinae ceteros asseclas affert. cf. etiam Heph. CCAG I, p. 93; ib. VIII 2, p. 50. cf. etiam B-L p. 299 et adn. 3; Gundel, Dekane p. 46, 2

1—4 τότε—διέπει LY: καὶ κύριος τῆς ἡμέρας ὁ Ἥλιος (om. Z) χρηματίσας πᾶσαν τὴν ἡμέραν πολεύων τύχῃ καὶ ἑαυτῷ τὴν πρώτην ὥραν ἀπομερίσας πολεύων καὶ διέπων αὐτὴν (τὴν πρώτην ὥραν ZD) γίνηται Zβγ || 4. 5 τὴν — διέπειν LY: ἑξῆς δὲ τὴν β' ὥραν Ἀ. λαμβάνουσα (παραλαβοῦσα παρ' αὐτοῦ γ) διέπει αὐτοῦ πολεύοντος Zβγ || 5 Ἑρμῆς LY: Ἑρμῆς διέπει Ἡλίου πολεύοντος Zγ: Ἑρ. πολεύοντος τοῦ Ἡλίου αὐτὸς διέπειν λέγεται β || 6 Σελ. LY: Σ. διέπει Zβγ: add. Ἡλίου πολεύοντος Zγ | Κρ. LYβ: Κρ. διέπει Ἡλίου πολεύοντος Zγ | τὴν δὲ ἕκτην Z: om. Y || 7 Ζεὺς LYβ: Ζ. διέπει Ἡλίου πολεύοντος Zγ | τ. ἑβδ. Ἄρ. LZYβ: om. γ | post Ἄρ. add. διέπει (ἐν πάσαις β) τοῦ Ἡλίου πολεύοντος Zβ || 7. 8 αὐτοῦ u. ad ὀγδ. LZY: τὴν δὲ η' αὐτὸς πάλιν ὁ Ἥλ. β: τὴν η' πάλιν Ἥλ. γ || 8 πολ. κ. δι. Lγ: δι. κ. πολ. ZD: πολεύει καὶ διέπει β | ὁμοίως LY: om. Zβγ || 9 ἡ ἀκολουθία LY: τὰ εἰρημένα β: τὰ λοιπὰ γ: τὰ λοιπὰ τηρεῖν καθ' ὃν τρόπον εἴρηται Z || 10 Inscr. ZYβγ | τῶν δωδ. Z Hel. β: δωδ. Y: τοῦ δωδεκατημορίου γ || 11 οἱουδ. Yβγ: καθ' οἷον δήπ. Z || 12 ἢ Y: εἴτε Zγ: om. β | οὕτ. πρ. pon. Z || 13 ἢ[2] Y: εἴτε Zβγ || 13. 14 πολλ. ἃς ἔ. μ. pon. β

ἀριθμὸν διέκβαλε ἀπ' αὐτοῦ λογιζόμενος ἑκάστῳ ζῳδίῳ
μοίρας λ̄, καὶ ὅπου ἂν καταλήξῃ ὁ συμπεραιωθεὶς ἀριθμός,
ἐκεῖσε λέγε εἶναι τὸ δωδεκατημόριον, οὗ ζητεῖς ἀστέρος ἢ
κέντρου ἢ κλήρου. ὑποδείγματος χάριν· φέρε εἰπεῖν
τὸν τοῦ Ἑρμοῦ εἶναι Κριοῦ μοίρᾳ ια'. πολλαπλασίασον 5
τὰς ια̅ ἐπὶ τὸν ιγ', καὶ γίνονται ρμγ̅. ταῦτα ἀπόλυσον ἀπὸ
τοῦ ζωδίου, ἐν ᾧ ἐστιν ὁ ἀστήρ, διδοὺς ἑκάστῳ ζῳδίῳ
μοίρας λ̄, καταλείπονται κγ̅. λέγομεν εἶναι τὸ δωδεκατη-
μόριον τοῦ Ἑρμοῦ Λέοντος μοίρᾳ κγ'. πολὺ δὲ συμβάλ- ℑ1
λεται τὸ τῶν ἀγαθοποιῶν δωδεκατημόριον, ὅταν ἐν τῷ 10
ζῳδίῳ ἐμπέσῃ, ἐν ᾧ ἐστιν ὁ Ἥλιος ἢ ἡ Σελήνη ἢ ὁ τοῦ
Ἑρμοῦ ἀστὴρ ἢ ἐφ' ἑνὸς τῶν τεττάρων κέντρων ἢ ἐπὶ τοῦ
κλήρου τῆς Τύχης ἢ τοῦ Δαίμονος ἢ καὶ τῆς Ἀνάγκης ἢ
ἐπὶ τῆς προγεγενημένης εἴτε συνόδου εἴτε πανσελήνου.
διὰ γὰρ τῆσδε τῆς θεωρίας τοὺς εὐτυχεῖς καὶ πολυχρο- 15
νίους καὶ εὐδαίμονας ἄνδρας ἐπισημαίνεσθαι δεήσει, ὥσπερ
καὶ ἐὰν τὸ τῶν κακοποιῶν ἀστέρων δωδεκατημόριον
ἐμπέσῃ ἐν τῷ ζῳδίῳ, ἐν ᾧ ἐστιν ὁ Ἥλιος ἢ ἡ Σελήνη ἢ ὁ
τοῦ Ἑρμοῦ ἀστὴρ ἢ ἐφ' ἑνὸς τῶν τεττάρων κέντρων ἢ ἐπὶ
τοῦ κλήρου τῆς Τύχης ἢ τοῦ Δαίμονος ἢ τῆς Ἀνάγκης ἢ 20
ἐπὶ τῆς προγεγενημένης συνόδου ἢ πανσελήνου πένητας
καὶ δυσπερικτήτους καὶ κακοδαίμονας ἀποδείκνυσιν, ὅτὲ δὲ
καὶ ὀλιγοχρονίους ἢ βιαιοθανάτους ἢ ἐμπαθεῖς ἢ ἐπισινεῖς
καθίστησιν.

Ἄλλο ἐκ τῶν Παύλου 25

Τοῦ ζῳδίου τὰς μοίρας, ἃς ἐπέχει ὁ ἀστήρ, τρισκαι-
δεκαπλασιάσας ἔκβαλε ἀπὸ τοῦ ζῳδίου, ἐν ᾧ ἐστιν ὁ ἀστήρ,

1 *διέκβαλε* ZYγ: *διέκβαλλε* β | *λογιούμενος* ZY || **2** *συμπεραιωθεὶς* Zγ (cf. Vett. 279, 7): *συμπληρωθεὶς* Y: *συμπερανθεὶς* Sch²: om. β || **3** *ἐκεῖσε* γ: *ἐκεῖ* Zβ: om. Y || **4–9** *Ὑπ.—κγ'* Zβγ: *τίθησιν Παῦλος καὶ τῆς μεθόδου ὑπόδειγμα* Y || **4** *φ. εἰπ.* Zγ: *ὑπόθου* β || **5** *ἐν Κρ.* β | *πολλαπλασιάσας* Z || **6** *τὰς* Zγ: *τὰ* β | *τὸν* Zγ: *τὰ* β | *καὶ* om. Z || **10** *ἀγαθῶν* Y || **15** *διὰ—εὐτ.*: *εὐτ. γὰρ* Y | *διὰ γὰρ* βγ: *καὶ διὰ* Z || **16** *ἐπ. δεήσει* Zβγ: *σημαίνει* Y || **17** *ἐὰν τὸ* Yβγ: *ἐπὶ* Z || **17. 18** *δωδ. ἐμπ.* βγ: *εἰ δωδ. ἐμ.* Z || **18** *ἐν τ. ζ.* om. Y || **21** *εἴτε συν.* D || **22** *ἀποδείκν.* βγ (*-δύκν.* Sch): *σημαίνει* Y: *ἀποτελεῖ* 𝔅 (fin. cf. praef. p. XII) | *ὅτε δὲ* om. Y || **23** *καὶ βιοθανάτους* Y | *βιαιοθ.* om. Z (lac.) || **24** *καθ.* om. Y || **25** Inscr. et cap. hab. q (f. 42ᵛ): om. cett.

ἑκάστῳ ζῳδίῳ διδοὺς λ̄, καὶ ὅπου ἂν καταλήξῃ ὁ ἀριθμός,
ἐκεῖνο λέγε εἶναι τὸ δωδεκατημόριον τοῦ ἀστέρος, οἷον
ὡς ἐπὶ τοῦ ῥηθέντος παραδείγματος. ἔστω ἡ Σελήνη ἐν
ιγ' μοίρᾳ τοῦ Κριοῦ. τρισκαιδεκαπλασιάζω τὰς ιγ̄. γί-
5 νονται ρξθ̄. τούτων τὰ ρν̄ δίδωμι ἀνὰ λ̄ τῷ Κριῷ, τῷ
Ταύρῳ, τοῖς Διδύμοις, τῷ Καρκίνῳ καὶ τῷ Λέοντι. λοιποὶ
ιθ̄. καὶ ἔστι τὸ δωδεκατημόριον τῆς Σελήνης ἐν Παρθένῳ
ὡς καὶ ἐν τῇ προτέρᾳ μεθόδῳ· ἔστι δὲ αὕτη ἡ ὑστέρα
βελτίων ἐκείνης τῆς προτέρας, παρ' ὅσον, ὅτι διὰ ταύτης
10 τῆς ὑστέρας δύναται τὸ δωδεκατημόριον τοῦ ἀστέρος ἐν
τῷ αὐτῷ ζῳδίῳ εὑρίσκεσθαί ποτε καὶ ἐν αὐτῷ τῷ ζῳδίῳ
μετὰ κύκλου, ἐν ᾧ ἐστι ἡ αὐτοῦ ἐποχή.

⟨κγ'⟩ Περὶ τῶν ἑπτὰ κλήρων τῶν ἐν τῇ Παναρέτῳ*

* μη'

15 Πρῶτος ὁ τῆς Τύχης κλῆρος, ὃν ἀριθμεῖν δεήσει τοῖς μὲν
ἡμέρας γενομένοις ἀπὸ τῆς ἡλιακῆς μοίρας ἕως τῆς σελη-
νιακῆς μοίρας, καὶ τὸν συναχθέντα ἀριθμὸν δεῖ ἐκβάλλειν
ἀπὸ τῆς τοῦ ὡροσκόπου μοιρικῆς ἀριθμήσεως, διδόντας

13ss. cf. Vett. Val. IV 25 (p. 200ss.); Rhet. I c. 47. 48 (excerptum acephalum de locis CCAG I p. 167ss. Heliodori non Pauli esse videtur); Hel. CCAG IV, p. 81s. Κλῆρ. et τόπ. coniungit Apomasar CCAG XI 1, p. 184—200 | ad verbum Πανάρ. cf. A. Dieterich, Papyrus Magica Mus. Lugdun. Batav. (Neue Jahrb. Suppl. 16 (1888) p. 754s.) | de doctrina cf. B-L p. 304s.; Gundel, Lib. Herm. Tr. p. 314ss.; J. Kroll, Lehren des Herm. Tr. p. 90; 145/6; Festugière, Rév. d'Herm. Tr. p. 105, 4; 112 | cf. et Goethe, Urworte, orphisch, apud Borinski, Philologus 69 (1910), p. 1ss.; Paulum non affert || 15 κλ. Τύχ. cf. Nech. et Pet. Fr. 19. 19a (p. 363); κλ. Δαίμ. κ. Τύχ. cf. Vett. Val. II 19; Procl. in Plat. R. P. II 299, 25ss.

13 Inscr. et capitulum hab. ZYβγ 𝔟, qui affertur, nisi facit cum γ || 14 post Παν. add.: καὶ ἑτέρων Y || 15. 16 τοῖς ... γενομένοις Y: τῆς ... -μένης Z: τῶν ... -μένων γ: τ. ... γεννωμένων β || 16. 17 post σελ. μ. add. κατὰ τὰ ἑπόμενα 𝔟 || 17 μοίρας ZY𝔟: om. βγ | δεῖ ἐκβ. ZY: διεκβάλλειν βγ || 18 τῆς om. β | μοιρ. ἀρ. Zγ: μοίρας Y: om. β

ἑκάστῳ ζῳδίῳ μοίρας λ̄, καὶ ὅπου ἂν καταλήξῃ ὁ συναχ-
θεὶς ἀριθμός, ἐκεῖσε τὸν τῆς Τύχης λέγε εἶναι κλῆρον·
τοῖς δὲ νυκτός, τὸ ἀνάπαλιν, τουτέστιν ἀπὸ τῆς σεληνια-
κῆς μοίρας ἐπὶ τὴν ἡλιακήν. τὰ δὲ λοιπὰ ὁμοίως ἀπὸ τῆς
τοῦ ὡροσκόπου μοίρας δεῖ ἐκβάλλειν. 5

Δεύτερος κλῆρος τοῦ Δαίμονος, ὃν ἀριθμήσεις ἐπὶ
ἡμερινῆς γενέσεως ἀπὸ τῆς μοίρας τῆς Σελήνης ἐπὶ μοῖ-
ραν τοῦ Ἡλίου, καὶ τὸν συναγόμενον ἀριθμὸν δεῖ ἐκβάλλειν
ἀπὸ μοίρας τοῦ ὡροσκόπου πάλιν ὁμοίως μερίσας ἑκάστῳ ℨ2
ζῳδίῳ ἀνὰ μοίρας λ̄, καὶ ὅπου δ' ἂν καταλήξῃ ὁ ἀριθμός, 10
ἐκεῖ ἔσται ὁ τοῦ Δαίμονος κλῆρος· καὶ οὕτως μὲν ἐπὶ
ἡμέρας, ἐπὶ δὲ νυκτὸς τὸ ἀνάπαλιν.

Τρίτος κλῆρος τοῦ Ἔρωτος, ὃν ἀριθμήσεις τοῖς μὲν ἡ-
μέρας γενομένοις ἀπὸ κλήρου Δαίμονος ἐπὶ μοῖραν Ἀφρο-
δίτης καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, τοῖς δὲ νυκτὸς τὸ 15
ἀνάπαλιν.

Τέταρτος κλῆρος τῆς Ἀνάγκης, ὃν καὶ αὐτὸν ψηφίσεις
τοῖς μὲν ἡμέρας γενομένοις ἀπὸ μοίρας Ἑρμοῦ ἐπὶ κλῆρον
Τύχης. καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, τοῖς δὲ νυκτὸς τὸ ἀνά- K4
παλιν. 20

1 *καταλήξῃ* ZYD𝔟: *καταντήσῃ* βγ | *συναχθ.* Yβγ: *καταληφθεὶς* Z || **2** *εἶν. κλ.* ZY: *κλ. εἶν.* βγ || **3** *τοῖς* Y: *τῆς* Z: *τῶν* βγ | *ἐν νυκτί* Y || **4** *μοίρ.* ZY𝔟 om. βγ | ad *μοίρ.* add. *κατὰ τὰ προηγούμενα* 𝔟 | *ὁμ.* om. Z || **5** *δεῖ ἐκβ.* ZY: *διέκβαλλε* βγ || **6** *δεύτ.* βγ, evanid. i. Z: om. Y || **6.7** *ἐπὶ—γεν.* Z: om. Yβγ || **8** *δεῖ ἐκβ.* Z: *διεκβάλλει* Y: *διεκβάλλων* γ: *διεκβαλλεῖν* (ω supra) [sic] β || **9.10** *πάλ.—λ̄* om. Z || **9** *πάλ.—μερ.* Y: *ἐπὶ τὴν ὁμ. μερίσης* D: *μοίρας μέριζε* 𝔟: *ἐπὶ τὰ ὁμ. διδοὺς* βγ || **10** *ἀνὰ* YD: om. βγ𝔟 | *καταλήξῃ* Yβγ: *ἐμπέσῃ* Z | *ὁ ἀρ.* Yβγ: *ἐκεῖνος ὁ ἀρ.* Z: *ὁ καταληφθεὶς ἀρ.* D || **11** *ἐκεῖ* Yβγ: *ἐκεῖνο τὸ ζῴδιον* Z | *μὲν* Yβγ: *ἐστὶν* Z || **12** *ἡμ.* Zβγ: *τῶν ἡμερινῶν* Y || **12** *ἐπὶ—νυκτ.* Zβγ: *τοῖς δὲ ἐν νυκτὶ* Y || **13** *τρίτος* βγ: om. ZY | *κλ. Τύχης ὁ τοῦ Ἔρ.* [sic] β || **13.14** *τοῖς—γενομένοις* Yγ: *τῆς—γενομένης* Z: *ἐπὶ μὲν τῶν ἡμέρας γεννωμένων* β || **15** *τοῖς* βγ: *τῆς* ZY𝔟 || **17—20** *κλ. τ. Ἀν.* hic om. Z, qui add. post *κλ. τ. Νεμ.* i. mg.: om. Y, qui pon. post *κλ. Τόλμ.* i. t. || **17** *τέτ.* βγ: om. ZY | *ὃν* om. Y | *καὶ* om. Zβ | *αὐτὸν* om. β || **18** *τοῖς* u. ad *γενομένοις* Yγ: *τῆς . . . γενομένης* Z: *ἐπὶ μὲν τῶν ἡμέρας γεννωμένων* (*γενομένων* 𝔅) β || **19** *καὶ* om. ZY | *τὰ ἴσα* Y: *πάλιν ὁμοίως* Zβγ | *τοῖς δ. ν.* γ: *τῆς δ. ν.* ZY𝔟: *ἐπὶ δὲ τῶν νυκτὸς* β

ΚΕΦ. ΚΓ'

Πέμπτος κλῆρος τῆς Τόλμης, ὃν πραγματεύσῃ ἀπὸ μοίρας Ἄρεως ἐπὶ κλῆρον Τύχης τοῖς μὲν ἡμέρας γενομένοις καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, τοῖς δὲ νυκτὸς τὸ ἀνάπαλιν.

5 *Ἕκτος κλῆρος τῆς Νίκης, ὃν ἀριθμήσεις τοῖς μὲν ἡμέρας γενομένοις ἀπὸ κλήρου Δαίμονος ἐπὶ μοῖραν Διός, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, τοῖς δὲ νυκτὸς τὸ ἀνάπαλιν.*

Ἕβδομος κλῆρος τῆς Νεμέσεως, ὃν ἀριθμήσεις ἐπὶ ἡμερινῶν γενέσεων ἀπὸ Κρόνου ἐπὶ κλῆρον Τύχης, καὶ τὰ 10 *ἴσα ἀπὸ ὡροσκόπου· ἐπὶ δὲ νυκτὸς τὸ ἀνάπαλιν.*

Εἰκότως δὲ οἱ κλῆροι ταύτην ἔχουσιν τὴν γένεσιν, ἐπεὶ καὶ τῇ φύσει ἡ μὲν Σελήνη Τύχη καθέστηκεν, ὁ δὲ Ἥλιος Δαίμων, ἡ δὲ Ἀφροδίτη Ἔρως, ὁ δὲ τοῦ Ἑρμοῦ Ἀνάγκη, ὁ δὲ τοῦ Ἄρεως Τόλμα, ὁ δὲ τοῦ Διὸς Νίκη, ὁ δὲ τοῦ 15 *Κρόνου Νέμεσις· ὁ δὲ ὡροσκόπος τούτων ἀνὰ μέσον βραβεύει, βάσις καθεστὼς τοῦ παντὸς κόσμου.*

Καὶ ἡ μὲν Τύχη σημαίνει τὰ περὶ τοῦ σώματος πάντα καὶ τὰς κατὰ βίον πράξεις· κτήσεώς τε καὶ δόξης καὶ προεδρίας δηλωτικὴ καθέστηκεν.

20 *Ὁ δὲ Δαίμων ψυχῆς καὶ τρόπου καὶ φρονήσεως καὶ δυναστείας πάσης κύριος τυγχάνει, ἔσθ' ὅτε δὲ καὶ τῷ περὶ πράξεως λόγῳ συνεργεῖ.*

1 *πέμπτος* βγ: om. ZY | *πραγματεύσῃ* ZY: *πραγματευτέον* βγ || **2** *τοῖς* βγ: om. ZY | *μὲν* β: *ἐπὶ* Yγ: om. Z | *ἡμ.* β: *τῆς ἡμ.* Zγ: *τῶν ἡμ.* Y | *γεν.* γ: *γεννωμένοις* β: *γενομένης* Z𝔡: *γενομένων* Y || **3** *καὶ* om. β | *τὰ ἴσα* Y: *ὁμοίως* Zβγ | *τοῖς* γ: *τῆς* Zβ || **5** *ἕκτος* βγ: om. ZY | *τοῖς* Yγ: *τῆς* Z: om. β | *μὲν ἡμ.* ZYγ: *ἡμ. μὲν* β || **6** *γεν.* Yγ: *γενομένης* Z: om. β𝔡 || **7** post *ὡρ.* add. *ποιήσεις* β | *τοῖς* γ: *τῆς* ZY𝔡: om. β | *νυκτ. δὲ* pon. β || **8** *ἕβδ.* βγ: om. ZY | *ὃν ἀρ.* Yβγ: *ὃς ἀριθμεῖται* Z || **11.12** *ἐπ.—φ.*: *ἐπὶ τῇ φ. τῶν ἀστέρων* rubr. 𝔡 || **13** *Ἔρως* Yβγ: *Ἔρωτι καθέστηκεν καὶ* Z | *Ἑρ. ἀστὴρ* Z || **15** *δὲ ὡρ.* βγ: *τοῦ δὲ ὡροσκόπου* ZY | *τοῦτον* Z || **15.16** *βραβεύει, βάσις* Yβγ: *βράβευσις* Z || **16** post *κόσμ.* inscr. inserit: *περὶ κληροσημασίας· πῶς δεῖ γνῶναι, τί σημαίνει ἕκαστος τῶν ὀκτὼ κλήρων* 𝔡 || **17** *περὶ*: *ἐπὶ* Z || **18** *κτήσεις τε καὶ δόξας* ZY (*τ. κ.* om.) || **19** *προεδρίας* ZYβ: *προσεδρίας* γ | *πρ. τούτων* Z || **22** *τῷ π. πρ. λόγῳ* Z: *τὸν π. πρ. λόγον* βγ: *πράξαισιν* [sic] Y

Ὁ δὲ Ἔρως σημαίνει τὰς ὀρέξεις καὶ τὰς ἐπιθυμίας
τὰς κατὰ προαίρεσιν γινομένας, φιλίας τε καὶ χάριτος
παραίτιος καθέστηκεν.
Ἡ δὲ Ἀνάγκη συνοχὰς καὶ ὑποταγὰς καὶ μάχας καὶ
πολέμους, ἔχθρας τε καὶ μῖσος καὶ καταδίκας καὶ τὰ ἄλλα 5
πάντα τὰ τοῖς ἀνθρώποις συμβαίνοντα βίαια πράγματα
ἐν γέννᾳ ποιεῖ.
Ἡ δὲ Τόλμα θράσους καὶ ἐπιβουλῆς καὶ ἰσχύος
καὶ κακουργίας πάσης παραιτία καθέστηκεν.
Ἡ δὲ Νίκη πίστεως καὶ ἐλπίδος ἀγαθῆς καὶ ἀγῶνος 10
καὶ κοινωνίας πάσης, ἔτι δὲ καὶ ἐπιβολῆς καὶ ἐπιτυχίας
παραιτία καθέστηκεν. ℨ3
Ἡ δὲ Νέμεσις δαιμόνων χθονίων καὶ τῶν κεκρυμ-
μένων πάντων, ἀποδείξεώς τε καὶ ἀδρανείας καὶ φυγῆς
καὶ ἀπωλείας καὶ πένθους καὶ ποιότητος θανάτου παρ- 15
αιτία καθέστηκεν.
Ἡ δὲ βάσις, ὅ ἐστιν ὡροσκόπος, ζωῆς καὶ πνεύματος
παραιτία καθέστηκεν, ἐπειδὴ ἅμα τῷ γεννᾶσθαι πᾶν τὸ
γεννώμενον ἐκ τοῦ πνέοντος ἀέρος ἀποσπᾷ τὸ ζωτικὸν
πνεῦμα ἐν τῇ τῆς σταλαγμιαίας ὥρας ῥοπῇ τῇ κατὰ τὴν L1
ἀποκύησιν τεταγμένῃ, ἥτις ἐστὶ τῶν ὅλων δηλωτική. 21

17 cf. B-L p. 306, adn. 6 || 20 σταλ. ὥρ. cf. Vett. Val. p. 274, 2

2 γιν. om. Y | post φιλ. add. σοφίας Z | φιλίαν τ. κ. χάρι-
τας Y || 3 παραίτιος Z: αἴτιος βγ: om. Y | καθ. om. Y || 5 καὶ
καταδ. om. Z || 5.6 τὰ ἀ. π. βγ: π. τ' ἄλλα Z: τὰ ὅμοια Y ||
6 τὰ om. Z || 6.7 πάντα—ποιεῖ om. Y || 7 ἐν γ. ποιεῖ γ: ἐκγεννᾷ
καὶ ποιεῖ Z: ἐπάγει β || 9 πάσης om. Y | παραιτία γ: παραίτιος
Z: αἰτία Y | καθ. Zγ: γίνεται β: om. Y || 10 ἐλπίδων ἀγαθῶν β ||
12 παρ. om. Y | καθ. Zγ: ἐστίν β: om. Y || 13 δαιμόνων D Hel.:
διαμόνων Y: δαιμονίων Z: δαίμων γ: δαίμων τῶν β || 14 ἀδρανείας
ZY Hel.: ἀνδρείας βγ || 15.16 παρ. καθ. Zγ: αἰτία γίνεται β:
om. Y || 17.18 ἡ δὲ βάσις—καθ. om. β || 17 ὅ om. Z (lac.) |
ἐστιν Zβγ: om. Y | ὡροσκ. βγ: ὡρ . . . Z: ΦΗ͡ [sic] Y || 18 παρ-
αίτιος ZY | ἐπειδὴ πᾶν τὸ γενόμενον ἅμα pon. Y || 19 γενν. Zβ:
γεν. Y: γινόμενον γ | ἐκ om. Y | πνέοντος om. Y | ἀποσπᾷ βγ:
ἀποσπᾶται Z: σπᾶ Y | τὸ γ: τι β: om. ZY || 19.20 ζωτ. πνεῦμα
om. Y || 20 ἐν Z[2]Y: ἐπὶ βγ | τῆς βγ: om. ZY | σταλ. βγ:
σταλαγμιαίᾳ ZY | ὥρ. β: τῆς ὥρας ZYγ | ῥοπῇ Zβγ: ῥοπῆς Y

ΚΕΦ. ΚΓ'

Ὑπόδειγμα· Τὸν κλῆρον τῆς Τύχης ἀριθμεῖν δεήσει, καθὼς
προείρηται, ἐπὶ ἡμερινῶν γενέσεων ἀπὸ μοίρας Ἡλίου ἕως
μοίρας Σελήνης τὰς πάσας τῶν μεταξὺ ζῳδίων μοίρας
συλλαμβάνοντας ἔτι δὲ καὶ τὰς τοῦ ὡροσκόπου, καὶ οὕτως
5 τὸν συναγόμενον ἀριθμὸν διεκβάλλειν* ἀπὸ τοῦ ὡροσκό- *μϑ
που, διδόντας ἑκάστῳ ζῳδίῳ μοίρας λ̄. καὶ ὅπου ἂν κατα-
λήξῃ ὁ σύμπας ἀριθμός, ἐκεῖσε τῆς Τύχης ἀποφήνασθαι
δεήσει τὸν κλῆρον· οἷον ἐπὶ ἡμερινῆς γενέσεως δεδόσθω
τὸν Ἥλιον Ἰχθύων μοίρᾳ κη', τὴν δὲ Σελήνην Ὑδροχόου
10 μοίρᾳ κη', τὸν ὡροσκόπον Λέοντος μοίρᾳ ια'. ψηφίσομεν
ἀπὸ Ἡλίου ἐπὶ Σελήνην, γίνονται μοῖραι τ̄λ̄. προσθή-
σομεν καὶ τὰς τοῦ ὡροσκόπου μοίρας ῑᾱ. ὁμοῦ αἱ πᾶσαι
J 4 μοῖραι τ̄μ̄ᾱ· ἀπολύσομεν ἀπὸ τοῦ Λέοντος, κατέληξεν ἐν
Καρκίνου μοίρᾳ ια'. οὗτός ἐστιν ὁ κλῆρος τῆς Τύχης.
15 ὁμοίως δὲ καὶ τὸν τοῦ Δαίμονος ἀπὸ μοίρας Σελήνης ἐπὶ
μοῖραν Ἡλίου, αἵ εἰσι λ̄· προσθήσομεν καὶ τὰς τοῦ ὡρο-
σκόπου μοίρας ῑᾱ· αἱ πᾶσαι μοῖραι μ̄ᾱ. ἀπολύσομεν ἀπὸ τοῦ
Λέοντος· κατέληξεν ἐν Παρθένου μοίρᾳ ια'· οὗτός ἐστιν ὁ
τοῦ Δαίμονος κλῆρος. ὁμοίως καὶ τὸν τοῦ Ἔρωτος ἀπὸ
20 κλήρου Δαίμονος ἐπὶ μοῖραν Ἀφροδίτης· κλῆρος Δαίμονος
Παρθένου μοίρᾳ ια', ἡ δὲ Ἀφροδίτη Ὑδροχόου μοίρᾳ ιε'·

cf. Interpret. p. 137, 5

ἑνὶ τῶν προκειμένων ἀστέρων καθ' οἱονδήποτε σχῆμα 5
ϛε'* *ἢ ἕως ἂν ἔξαλμα* ποιήσηται ἀπὸ ζῳδίου ἐπὶ ζῴδιον, καὶ*
ἐὰν μὲν οὖν συναντήσῃ ἑνὶ τῶν προκειμένων ἀστέρων πρὸ
τοῦ ἐξάλματος κατὰ τὸ αὐτὸ ζῴδιον ἑνὸς τῶν κακοποιῶν
ὑπάρχοντος ταχύτερον τῶν προειρημένων κλιμακτήρων
τὸν κίνδυνον ἐπιφέρει. ἐὰν δὲ τὸ ἔξαλμα ποιήσηται, πρὶν 10
συναντήσῃ ἑνὶ τῶν προκειμένων ἀστέρων ἐν τῇ τοῦ
ἐξάλματος σχηματογραφίᾳ, τὴν τοῦ κλιμακτῆρος αἰτίαν
ἀποτελέσει.

Ὑποδείγματος χάριν· Ἥλιος Σκορπίου μοίρᾳ ιε', Ἄρης Λέοντος μοίρᾳ κγ', Σελήνη Τοξότου μοίρᾳ ϛ', ὁ 15
ὡροσκόπος Σκορπίου μοίρᾳ κα'. πραγματευσόμεθα πρῶτον τὸν τοῦ Ἡλίου περίπατον καὶ ἣν ποιεῖται πρὸς Ἄρη
καὶ Σελήνην κατὰ συνάντησιν μοιρικὴν κόλλησιν· πρὸς
τούτοις δὲ καὶ τὸν τοῦ ὡροσκόπου περίπατον, καὶ ἣν ἐκ
συναντήσεως ποιεῖται κόλλησιν ἡ Σελήνη εἴτε πρὸς τὸν 20
Ἥλιον εἴτε πρὸς τὸν τοῦ Ἄρεως. ἀρξόμεθα πρῶτον ἀπὸ
τοῦ ἡλιακοῦ περιπάτου, ἐπειδὴ ὁ Ἥλιός ἐστιν Σκορπίου S3

1 verbis *ἡ δὲ* novam inscriptionem: *Μέθοδος κολλήσεως Ἡλίου καὶ Σελήνης καὶ ὡροσκόπου* praepon. Mγ (deest in ZY Hel.) | *ἡ δὲ*: *ὁ δὲ* D | *εἴτε*[1] ZY: om. Mγ | *εἴτε*[2] ZY: *ἢ* Mγ | *εἴτε*[3] ZYγ: *εἴτε καὶ* M || 2 *πράγματα* ZY | *τὸν — τοῦτ.* ZY: *τοῦτ. τ. τρ.* Mγ || 3 *εὑρ. ἐ. γεν.* pon. M || 5 *κειμένων* Y || 5—7 *καθ' — πρ. ἀστέρων* om. Y || 6 *ἂν* om. M || 7 *ἐὰν* Z: *ἂν* γ: *ἣν* M | *οὖν* Z: om. Mγ || 7—9 *προκειμ. — ταχ. τῶν* om. Z || 9 *προειρημένων* Z: *προκειμένων* YMγ | *κλιματικὸν* Z || 10 *ἐπιφέρει* ZY: *ἐπιφέρων ἐστίν* Mγ: *ἐπιφερόμενός ἐστιν* Sch | *πρὶν* ZY: *πλὴν* Mγ || 11 *ἑνὶ* Z: *τινὶ* YMγ | *προκειμένων* Z: *προειρημένων* Mγ: om. Y || 12 *σχηματογραφίᾳ* Z: *χρονογραφίᾳ* YMγ || 15.16 *ὁ ὡρ.* ZYM: *ἡ ὡροσκόπησις* γ || 16 *κα'* ZY: *κδ'* Mγ | *πραγματευσόμεθα* ZM: *-σώμεθα* Yγ || 18 *Σελ.* ZY: *ἡ Σελήνη* Mγ | *κατὰ συναντ.* YMγ: *κατασυνάντησιν ἢ* Z || 19 *τούτοις* Mγ: *τοῖς* ZY | *ἐκ* ZY: *ἐκ τῆς* Mγ || 20 *ποιεῖται* ZYMγ: *ποιεῖ τὴν* Sch || 21 *Ἄρ* ZY: *Ἄρ. ἀστέρα* Mγ | *ἀρξόμεθα* Z: *ἀρξώμεθα* YMγ | *δὴ πρ.* M || 21.22 *πρ.* u. ad *περιπάτου*: *τίνων* [sic] *ἀπὸ τ. ἡλ. πρώτως περ.* (i. cp.) Y || 22 *ἡλιακοῦ* ZY: *τοῦ Ἡλίου* Mγ

μοίρᾳ ιε' · ἀνατέλλει δὲ κατ' Αἰγυπτίους ἐν τῷ δι' Ἀλε- \
ξανδρείας κλίματι δι' ἐτῶν* λε̅,* μερίζω τὰ λε̅ ἔτη εἰς \
τὰς λ̅ μοίρας τοῦ Σκορπίου καὶ τοῦ ἰσαναφόρου τούτου, \
λέγω δὴ τοῦ Λέοντος, εὑρίσκω τὴν μοῖραν τοῦ Σκορπίου \
5 καὶ τοῦ Λέοντος μηνῶν ιδ̅. ἔστι δὲ ὁ Ἥλιος μοίρᾳ ιε', ὁ \
δὲ Ἄρης ἐπὶ τοῦ Λέοντος μοίρᾳ κγ'. λοιπὸν ἀπὸ τοῦ \
Ἡλίου ἕως τῆς τοῦ Ἄρεως στάσεως μοῖραι η̅. ποιῶ ὀκτά- \
κις ιδ̅, γίνονται μῆνες ριβ̅, ἐτῶν θ̅, μηνῶν δ̅ · ὁ Ἥλιος ἐκ \
περιπάτου κατὰ συνάντησιν ἐν τῷ εὐωνύμῳ τετραγώνῳ \
10 τυχών, ὢν κατὰ φωτισμόν, κόλλησιν πεποίηται πρὸς τὸν \
τοῦ Ἄρεως ἀστέρα καὶ ἔδειξε θανατηφόρον κλιμακτῆρα. \
ἐτῶν ιζ̅ καὶ μηνῶν ϛ̅ ἔξαλμα πεποίηται ἀπὸ τοῦ Σκορπίου \
ἐπὶ τὸν Τοξότην καὶ ἔδειξεν ἕτερον ἐπικίνδυνον κλιμα- \
κτῆρα. πεποίηται δὲ ὁ Ἥλιος τὴν ἐκ τοῦ περιπάτου κόλ- \
15 λησιν πρὸς τὴν Σελήνην ἐτῶν κγ̅ καὶ μηνῶν ι̅ ἐπὶ τοῦ \
Τοξότου* ὑπάρχουσαν· ἔχει γὰρ ἡ μοῖρα τοῦ Τοξότου μῆ- \
νας ιβ̅, ἡμέρας κ̅. τῷ αὐτῷ δὲ τρόπῳ καὶ τὸν τοῦ ὡροσκόπου \
περίπατον ποιήσεις, ὡς ἔχει τὰ προειρημένα τοῦ ὑποδεί- \
γματος, ἵνα καὶ ἐπὶ πάσης προθέσεως τοῦτο πραγματεύσῃ.

20 Παρέθετο δὲ ὁ Τρισμέγιστος Ἑρμῆς ἐν τῇ περὶ \
κλιμακτήρων πραγματείᾳ λέγων οὕτως· οὐ πάντοτε οἱ \
Ω3 ἐπιφερόμενοι ταῖς ἀνθρωπίναις γενέσεσι κλιμακτῆρες νό- \
σων παραίτιοι γίνονται. ἀλλ' οἱ μὲν πένθους, οἱ δὲ ληστρι- \
κῶν ἐφόδων, οἱ δὲ ζημιῶν, οἱ δὲ ναυαγιῶν, οἱ δὲ δικῶν,

* ϛς' \
* ϛζ' \
* ϛη'

2 cf. Interpret., p. 145 s.

1 δὲ ZYM: δὲ καὶ γ || 2 δι' Y: om. ZMγ || 2.3 εἰς τὰς om. Y || 3 τούτου Mγ: τοῦτον Z: om. Y || 4.5 εὑρ. — Λέοντ. om. Y || 6 λοιπὸν YMγ: μερίσαντες λοιπὸν Z || 7 ἕως ZYD: μέχρι Mγ || 8 μῆνες Z: μοῖραι Mγ: om. Y | θ̅ ZYD: ὅρα θ Mγ || 10 ὢν Z: om. YMγ | πεπ. ZMγ: ποιεῖται Y || 12 ἐτῶν ZY: πάλιν ἐτ. Mγ: καὶ πάλιν Db | πεπ. ZMγ: ποιεῖται Y || 14 πεπ. ZMγ: ποιεῖται Y | τοῦ Z: om. YMγ || 16 ὑπάρχουσαν YMγ: om. Z | ἔχει γὰρ ἡ μοῖρα YMγ: ἡ μ. ἔχ. Z | μῆνας ZYM: μοίρας γ || 17 τὸν ZMγ: τὴν Y | περίπατον om. Y || 19 τοῦτο ZY: οὕτω Mγ || 20 περὶ ZY: ὑπὲρ Mγ || 22 ἐπιφ. YMγ: περιφ. Z | post ἐπιφ. pon. κλιμακτῆρες Y | ἀνθρ.: ἀ̅ν̅ιναις M: ἀγγίναις D | νόσ.: νήσων D || 23 οἱ μὲν ZY: ὅτε μὲν Mγ || 23. 24 οἱ δὲ ληστρ. — ναυ. om. Sch || 24 οἱ[3] ZY: ὅτε Mγ

ἕτεροι δὲ μακρῶν ἢ χρονίων ἀποδημιῶν δοτῆρες γίνονται. καὶ οἱ μὲν διὰ τῶν παραιρέτων ἀστέρων ἀποτελούμενοι κλιμακτῆρες νόσων καὶ κινδύνων καὶ πένθους παραίτιοι χρηματίζουσιν, οἱ δὲ διὰ τῶν τῆς αἱρέσεως ζημιῶν καὶ τῶν τούτοις παραπλησίων. 5

⟨λε′⟩ Περὶ τοῦ τῆς Σελήνης συνδέσμου S4

ϛθ′ Ὁ τῆς Σελήνης σύνδεσμος καταλαμβάνεται, ὅταν κατὰ δεξιὰν ἢ εὐώνυμον πλευρὰν τῶν ἡλιακῶν ἀκτίνων ἐν οἱῳδήποτε σχήματι τυγχάνουσα εὑρεθῇ. ὑπὸ σύνδεσμον γὰρ ἡ Σελήνη φερομένη εὑρίσκεται, ὅταν ἐντὸς τῆς πεντα- 10 μοιρίας τῶν ἡλιακῶν ἀκτίνων πέσῃ ἐπὶ σύνοδον φερομένη. ὡσαύτως δὲ καὶ ἐπὶ τῶν πανσεληνιακῶν σχημάτων τὸ τοιοῦτον γίνεται. ὁμοίως δὲ καὶ ἐν τοῖς δυσὶ τετραγώνοις τοῦ Ἡλίου κατὰ τὸν προειρημένον τρόπον εὑρεθεῖσα ὑπὸ σύνδεσμον φέρεται. τῇ δὲ αὐτῇ θεωρίᾳ ὑπ᾽ ἀμφοτέρων 15 τῶν ἑξαγώνων τοῦ Ἡλίου ἡ Σελήνη παρατυχοῦσα ὑπὸ σύνδεσμον φέρεται. ποιεῖται δὲ τὴν τοῦ συνδέσμου λύσιν, ὅταν ἐκ περιπάτου παρέλθῃ τὴν τοῦ Ἡλίου μοῖραν, καὶ εἰ μὲν κακοποιῷ ἡ τοῦ συνδέσμου λύσις ἀπαντήσει, πολ-

6 ss. cf. Vett. Val. IX 12 (p. 356s.); v. B-L p. 245, adn. 1, 2

1 post ἕτεροι δὲ add.: δικῶν μακρῶν, ἄλλοι δὲ Z | μ. ἢ χρ. ZMγ: μακροχρονίων Y | δοτ. γίν. YMγ: γίν. δοτ. Z || 2 παραιρέτων YMγ: παραιρετικῶν Z | ἀστέρων ZY: om. Mγ | ἀποτελ. MYγ: ἐπιτελούμενοι Z || 4 τῆς om. ZY | αἱρέσεως YMγ: αἱρεσιωτῶν Z | τῶν ζημ. Y || τούτοις: αὐτοῖς Y i. mg. ἕως ὅδε (sic) add. Z[2] || 6 Inscr. ZYMγ | τοῦ om. Z || 8 τῶν ἡλ. ZMγ: τοῦ Ἡλίου Y | ἐν om. Y || 9 οἱῳδήποταν σχ. Y | σχῆμα [!] M | σύνδεσμον ZYMD Sch: συνδέσμων γ || 10 ἡ Σελ. Z: post φερ. Y: om. Mγ | φερομένου M || 11 σύνοδον Mγ (cf. Hel. συνοδικός): συνδέσμου Z: σύνδ. suprascr. -οδον 𝕮: συνδέσμον Y || 12 πανσ. ZY: πανσελήνων Mγ || 13 ἐν om. Z | τετρ. ZY: τριγώνοις Mγ || 15 post φερ. add.: πρὸς τούτοις δὲ καὶ αὐτοῖς δύο τριγωνίοις τοῦ Ἡλίου ☋ κατὰ τὸν προειρημένον τρόπον εὑρέθησα ὑπὸ σύνδεσμον φέρεται πρὸς τούτοις δὲ καὶ ἐν τοῖς δύο τριγωνίοις τοῦ Ἡλίου φέρεται ☋ τυχάνουσα [sic] Y (☋ — ☋ del.) || 15—17 τῇ δὲ — φέρεται ZY: om. Mγ || 17 ποιεῖ D

λῶν κακῶν παραιτία γίνεται, εἰ δὲ στηρίζοντι ἢ ἀφαι-
ροῦντι τοῖς ἀριθμοῖς, μανίας καὶ συνοχὰς καὶ φθίσεις καὶ
μακρονοσίας παρέχεται, ὁτὲ δὲ καὶ σινῶν δυσθεραπεύτων
παραιτία γίνεται, ἔσθ' ὅτε δὲ καὶ τῆς ζωῆς ἀφαιρεῖται.
5 ἐπὶ πλέον δὲ αἱ τῶν συνδέσμων λύσεις βαρεῖαι χρηματί-
ζουσι καὶ σφόδρα κακίζονται, ὅταν ἀπὸ συνόδου πρὸς
Ἄρην τὴν συνάντησιν ἡ Σελήνη λύσασα ποιήσηται. ἀπὸ
δὲ πανσελήνου πρὸς Κρόνον ἐνεργεῖς δὲ γίνονται πρὸς τὸ
ὠφελῆσαι ἢ βλάψαι οἱ ἀπὸ πρώτης ἢ δευτέρας διχοτόμου
10 λυόμενοι σύνδεσμοι, ὠφελῆσαι μέν, ὅταν πρὸς ἀγαθο-
ποιοὺς φέρηται, βλάψαι δέ, ὅταν πρὸς κακοποιούς. μὴ
λαθέτω σε δέ, ὅτι διὰ τῶν φώτων γινόμενος περίπατος,
ὅτε εἰς τὸ εὐώνυμον τετράγωνον εἴτε Κρόνος εἴτε Ἄρης
εἴτε Ἥλιος τὴν κόλλησιν ποιήσηται, τὸν τῆς ἀκτινοβο-
15 λίας λόγον ἐπέχων κλιμακτῆρα ἐπικίνδυνον ποιεῖ, ὡς οἱ
σοφοὶ τῶν Αἰγυπτίων ἐτεκμήραντο.

⟨λϛ'⟩ Περὶ οἰκοδεσποτείας

Ὁ τῆς οἰκοδεσποτείας τρόπος καταλαμβάνεται ἔκ τε
Ἡλίου καὶ Σελήνης, ἐπάνπερ ἐν τοῖς χρηματίζουσι τό-
20 ποις τῆς γενέσεως εὑρεθῶσι. καὶ ἐπὶ μὲν ἡμερινῆς γε-
νέσεως σκοπεῖν δεήσει τοῦ Ἡλίου τὸν ὁριοκράτορα ἢ
ὑψοκράτορα ἢ τριγωνικὸν δεσπότην, ἐπὶ δὲ νυκτερινῆς

17ss. cf. Ptol. Ap. III 3; 4; III 11 § 7—9; Porph. c. 30; Vett. Val. III 1; 3; Heph. CCAG I, p. 90ss.; Rhet. III c. 17: v. B-L 405—407, in pr. 406 adn. 2

1 στηρίζονται ἢ ἀφαιροῦνται Z || 2 μανίας om. Y || 3 καὶ ZY: om. Mγ || 4 post ἀφ. add.: τὸ πλεῖστον D || 5 αἱ τῶν Mγ: τῶν Z: αὐτῶν Sch || 6 συνόδου Mγ: ÷ ου (= διαμέτρου?) Z: συνδέσμου τῆς συνόδου Y || 7 λύσ. om. M || 8 δὲ ZY: om. Mγ | ἐνεργ. δὲ ZMγ: ἐνεργέστεροι Y || 11 βλάψ.—κακ. ZY: τοὐναντίον δὲ δ. πρ. κ. M: om. γ || 12 λαθ. σε δὲ Y: λαθέτωσαν δὲ Z: λανθανέτω δέ σε Mγ | ὅτε om. Y || 13.14 Κρόνου Ἄρεως Ἡλίου D || 15 ποιεῖ ὡς Mγ: om. ZY || 17 Inscr.: Π. οἰκ. ZYMγ || 21 σκ. δεήσει Mγ: om. ZY | τ. Ἡλ. om. Z || 21–p. 96,1 ἢ ὑψ.—τὸν οἰκ. om. D || 21.22 ἢ ὑψοκράτορα Y: ἢ οἰκοδέκτορα Mγ: om. Z

γενέσεως τῆς Σελήνης τὸν ὁριοκράτορα καὶ τὸν οἰκοδέκτορα καὶ τὰ λοιπὰ ὡς ἔχει κατὰ τὸν προκείμενον τρόπον. τῶν δὲ προειρημένων τρόπων ἐπὰν εἷς ἀστὴρ παρὰ τοὺς ἄλλους πλείους ἔχῃ ψήφους καὶ ἐπὶ ἑῴας ἀνατολῆς ἐπίκεντρος καὶ ἰδιοθρονῶν εὑρεθῇ, αὐτὸς τὴν οἰκοδεσποτείαν 5 *ἔχει, καὶ μάλιστα, ἐὰν κατοπτεύῃ τὸ τῆς αἱρέσεως φῶς. οἱ δὲ χρηματίζοντες τόποι εἰς τὸν περὶ οἰκοδεσποτείας λόγον εἰσὶν οὗτοι· ὁ ὡροσκόπος καὶ τὸ μεσουράνημα καὶ ὁ Ἀγαθὸς Δαίμων, πρὸς τούτοις καὶ τὸ δῦνον καὶ τὸ ἐπιδυόμενον, ἐπάνπερ ἀρσενικὰ ταῦτα ζῴδια τυγχάνῃ, ἐπὶ* 10 *δὲ νυκτὸς τὰ δ̄ κέντρα καὶ ἡ Ἀγαθὴ Τύχη καὶ ὁ Ἀγαθὸς Δαίμων καὶ ἡ ἐπαναφορὰ τοῦ ὡροσκόπου καὶ τὸ ἐπιδυόμενον ζῴδιον. ἐπὶ γὰρ τούτων τῶν τόπων ἐὰν τὰ φωσφοροῦντα σώματα τύχῃ, οἰκοδεσποτείαν ἀποδείκνυσιν. ἐὰν δὲ ἐκπέσωσι τῶν προκειμένων τόπων, τότε τὸν ὁριοκράτορα ἢ τριγωνικὸν δεσπότην ἢ οἰκοδέκτορα τῆς προγεγενημένης συνόδου ἢ πανσελήνου σκοπεῖν δεήσει. ἐὰν δὲ ἡ προγεγενημένη σύνοδος ἢ πανσέληνος ἀργήσῃ, τὸν οἰκοδεσπότην τοῦ κλήρου τῆς Τύχης ἢ τοῦ Δαίμονος κατὰ τὴν τριγωνικὴν ἢ ζῳδιακὴν ἢ τὴν τῶν ὁρίων οἰκοδεσπο-* 𝔑 1 *τείαν, πρὸς τούτοις δὲ καὶ τὸν κύριον τοῦ ὡροσκόπου,* 21 *ϱ′ *καὶ ὃς* ἂν τούτων τῶν τόπων κυριεύων εὑρεθῇ ἐν τοῖς προπαραδοθεῖσι τόποις σχηματιζόμενος ἐκείνῳ, ᾧ ὑπο-* T 2

1 *γεν.* om. ZY | *τ. Σελ.* post *οἰκ.* pon. Z | *καὶ τὸν οἰκ.* Z: om. YMγ || 2 *προκ.* ZMγ: *προειρημένον* Y || 3 *προειρ. τρ.* Z: *προκειμένων τρ.* Mγ: *προειρημένων τόπων* Y || 4 *ἐπικ.* Z: *καὶ ἐ.* Y: *ἢ ἐ.* Mγ || 5 *ἰδιοφρονῶν* D || 6 *ἐὰν* ZMγ: *ὅταν* Y | *κατοπτεύῃ* ZY: *κατοπτεύσῃ* Mγ || 8 *καὶ*[1] . . . *καὶ*[2] ZY: om. Mγ || 9 *ἀγαθοδαίμων* Z || 9—12 *πρὸς—Δαίμων* om. Sch || 9 *πρὸς τ. καὶ* Z: *πρ. τ.* Mγ: *καὶ ἔτι* Y | *τὸ*[2] Z: om. YMγ | *ἐπιδυόμ.* Mγ Hel.: *ἐπίδυνον* Z: *ἐπιδυνόμενον* Y || 10 *ἀρσενικὰ* Mγ: *ἐν ἀρσενικοῖς* Z: *ἀρσενικῶν* Y | *ταῦτα ζῴδια* Z: *ζ. τ.* YMγ || 11 *νυκτὸς* ZY (cp.): *νυκτερινῆς* Mγ || 12 *τοῦ ὡρ.* YMγ: *τὸ ὡροσκοποῦν* Z || 14 *τύχῃ* ZMγ: *τ., λέγω δὴ ὁπότερος τῶν προειρημένων ἀστέρων* Y | *οἰκοδεσποτείαν* Z: *οἰκοδεσποτεία* Y: *τὸν οἰκοδεσπότην* Mγ | *ἀποδείκνυσιν* ZMγ: *δείκνυται* Y || 15 post *ἐκπέσουσι* Y fin. || 17 *συνόδ.* Z: *εἴτε σ.* Mγ | *ἢ* Mγ: *εἴτε* Z || 18 *προγενομένη* Z | *οἰκοδ.* Z: *δεσπότην* Mγ || 21 *δὲ* om. Z | *τὸν* om. Z || 22 *κυρ. εὑρ.* Z: *εὑρ. κυρ.* Mγ || 23 *τόποις* Mγ: *τούτοις* Z | *σχ.* ZMγ: *-μενον* Sch

δέδεικται, τὴν κυρίαν τῆς γενέσεως λήψεται. καὶ ὁ μὲν
τοῦ Κρόνου τὴν οἰκοδεσποτείαν λαχών, ἐὰν καλῶς κεί-
μενος τύχῃ, δίδωσι τὰ τέλεια τῆς ζωῆς ἔτη νζ, ὁ δὲ τοῦ
Διὸς οθ, ὁ δὲ τοῦ Ἄρεως ξς, ὁ δὲ τῆς Ἀφροδίτης πβ,
5 ὁ δὲ τοῦ Ἑρμοῦ ος. ἐὰν δὲ λόγον ἔχῃ ὁ Ἥλιος ἢ ἡ Σελήνη
πρὸς τὸν οἰκοδεσποτήσαντα τὴν γένεσιν ἀστέρα, δίδωσιν
ὁ Ἥλιος μὲν ρκ, ἡ δὲ Σελήνη ιη. καὶ ἐπὰν μέν τις τῶν ε
πλανήτων τὴν οἰκοδεσποτείαν λάχῃ καὶ ἐπιμαρτυρηθῇ
ὑπὸ μὲν τῆς Ἀφροδίτης, προσλαμβάνει τῷ τελείῳ τῆς
10 ζωῆς χρόνῳ τὰ ἐλάχιστα αὐτῆς ἔτη η, ὑπὸ δὲ Ἑρμοῦ κ,
ὑπὸ δὲ Κρόνου καλῶς καὶ οἰκείως κειμένου ἔτη λ, ἀνοι-
κείως δὲ τυχὼν ἀφαιρεῖται τῆς ζωῆς ἔτη λ. Ζεὺς δὲ
προσδίδωσιν ἔτη ιβ, Ἄρης δὲ καλῶς καὶ οἰκείως κεί-
μενος ἔτη ιε, ἀνοικείως δὲ ἀφαιρεῖται ἔτη τοσαῦτα.
15 νοείσθω δὲ τοῦτο, ἐπὰν οἱ προειρημένοι ἀγαθοποιοὶ
ἀστέρες ἐν τοῖς ἀποκλίμασιν ἢ ὑπὸ τὰς ἡλιώτιδας αὐγὰς
εὑρεθῶσιν ἢ τοῖς ἀριθμοῖς ἀφαιροῦντες καὶ κατοπτεύωσι
τὸν τὴν κυρίαν λαχόντα, ἀργοὶ ἐν ταῖς τῶν ἐτῶν ἀφαι-
ρέσεσιν ἢ προσδόσεσι γίνονται. ὃν τρόπον καὶ ὁ τῆς
20 γενέσεως οἰκοδεσπότης ἐν τοῖς ἀποκεκλικόσι ζῳδίοις ὑπὸ
τὰς ἡλιώτιδας αὐγὰς πεσὼν τῆς ἐλαχίστης ἀποκαταστά-
σεως δίδωσι τὰ ἔτη. Κρόνος μὲν ἔτη λ, μῆνας λ, ἡμέρας λ,
ὥρας λ· Ζεὺς ἔτη ιβ, μῆνας ιβ, ἡμέρας ιβ, ὥρας ιβ·
Ἄρης ἔτη ιε, μῆνας ιε, ἡμέρας ιε, ὥρας ιε· Ἀφροδίτη
25 ἔτη η, μῆνας η, ἡμέρας η, ὥρας η· ὁ δὲ τοῦ Ἑρμοῦ
ἔτη κ, μῆνας κ, ἡμέρας κ, ὥρας κ· ὁ δὲ Ἥλιος,

2 *οἰκ.* **Mγ**: *δεσποτείαν* **Z** || **3** *τῆς ζ. ἔτη* **Z**: *ἔ. τ. ζ.* **Mγ** || **4** *ἔτη οθ* **Z** | *ἔτη ξς* **Z** || **7** *ε* **Z**: **om. Mγ** || **8** *καὶ ἐπ.* **Z**: *ἐπ. δὲ* **Mγ** || **9** *πρ. τῷ τελείῳ* **Mγ**: *πρ. τέλει* **Z**: *προσλαμβάνεται λεγείω* **(lego** *τελείῳ***) Sch** || **10** *χρ.* **Mγ**: *χρόνων* **Z** | *αὐτῆς* **Mγ**: **om. Z** || **11 post** *λ*: *ἀνοικείως κειμένου ἔτη λ* **rep. Z** || **12** *δὲ* **Mγ**: *γὰρ* **Z** | *λ* **Mγ**: *λζ* **Z (scil.** *Ζεὺς* **per dittogr.)** || **14** *ἀφ.* **om. Z** | *ἔτη* **Z**: **om. Mγ** | *τοσ.* **Z**: *ταῦτα* **Mγ** || **15** *ἐπὰν* **Mγ**: *πᾶν* **Z** || **15.16** *ἀγ. ἀστ.* **om. Z** || **16** *ὑπὸ* **Mγ**: *ἀπὸ* **Z** || **17** *κατοπτεύωσι* **Mγ**: *κατοπτεύσωσι* **Z**: *κατοπτεύουσι* **Sch** || **18** *ἀργοὶ* **Mγ**: *και οἱ* **[sic] Z**: *ἄρτοι* **legendum** *ἄρτιοι* **Sch** || **22** *τὰ ἔτη* **Mγ**: *ταῦτα* **Z** || **25** *τῷ δὲ τοῦ Ἑρ.* **Z (ex** *ὀκτὼ* **praec. desumptum ?)**

ἐπάνπερ ἐν τῶν ἀρσενικῶν ζῳδίων ἐπίσχῃ, δίδωσιν ἔτη ιθ̄, μῆνας ιθ̄, ἡμέρας ιθ̄, ὥρας ιθ̄. Σελήνη δὲ ἔτη κε̄, μῆνας κε̄, ἡμέρας κε̄, ὥρας κε̄.

⟨λζ'⟩ Κόσμου γένεσις

Τὴν δὲ τοῦ θνητοῦ καὶ ἐπιγείου κόσμου γένεσιν, εὐθε- 5
τοῦσαν πρὸς τὴν τῆς γενεθλιαλογικῆς μαθήσεως ἐπίσκε-
ψιν, ἀναγκαῖόν ἐστιν ὑποθέσθαι τῶν περιπολούντων ἀστέ-
ρων ἀρχὴν ποιησαμένων τῆς ἀποκαταστατικῆς διαλάμ- ℜ 2
ψεως ἐπὶ τῆς τοῦ θνητοῦ καὶ ἐπιγείου κόσμου κτίσεως, T 3

4 ss. Hoc capitulum et sensu et verbis a ceteris omnibus alienum, insuper etiam ab Y et Ἀν et Heliodoro omissum, an re vera Pauli Alexandrini sit, dubitari potest. Z sane partem priorem (v. v. 1—6 ζῳδίων in infimo folio 156ᵛ positos) praebet, sed post fol. 156ᵛ aut casu aut consilio plura folia ablata sunt, sequitur capitulum acephalum ex Arabico sermone conversum; itaque incertum est, an hoc quoque capitulum e libro Arabico depromptum in linguam Graecam translatam postea demum libro Pauli Alexandrini additum sit. || 5 θν. κ. ἐπ. κ. de problemate ipso cf. J. Kroll, Lehren des Herm. Tr. p. 163 ss. θνητός mundus (=κόσμος) non dicitur sed φθαρτός cf. Aet. II 4, 1 ss. (Doxogr. p. 330/31): Πλάτων φθαρτὸν μὲν τὸν κόσμον φύσει, αἰσθητὸν γὰρ εἶναι. (sed θνητὰ ἔτι γένη Plat. Tim. 41 b; θνητὸς γεννηθείς Mithrasliturgie ed. Dieterich³ p. 4, 19.) Etiam κόσμος ἐπίγειος nusquam inveniri potest. τὰ ἐπίγεια Sext. Emp. V § 43, ἐπίγεια ζῷα Corp. Herm. VIII 4 (p. 88, 16), ἐπίγεια σώματα (ib. 19) praebent. αἰσθητός igitur pro verbo ἐπίγειος inserit M, quo verbo philosophi persaepe usi τὸν κόσμον νοητόν opponunt τῷ κόσμῳ αἰσθητῷ (v. supra) cf. Corp. Herm. II 16, 12 (p. 235, 26): ὥσπερ ὁ νοητὸς κόσμος, τὸν αἰσθητὸν κόσμον περιέχων; ib. 17 (p. 237 11/12): ἤρτηται οὖν ὁ νοητὸς κόσμος τοῦ θεοῦ, ὁ δὲ αἰσθητὸς τοῦ νοητοῦ. cf. etiam Philon. De aeternitate mundi ed. Cumont p. 5, 21; Clem. Al. Strom. p. 350, 5—7; 387, 21; Procl. in Plat. Tim. p. 13, 3: διττὸς ὁ κόσμος, ὁ μὲν νοητός, ὁ δὲ αἰσθητός; ib. p. 325, 6—8; Hermipp. p. 25, 7/8. || 9 κ. κτ. cf. Ep. Rom. 1, 20

1 ἐπάνπερ Zγ: ὅταν M | ἐν τῶν Mγ: ἐν τῶν ἐνὶ Z: ἐν τῶν Sch | ἐπίσχῃ ZD: ἐπέχῃ Mγ || 4 cap. hab. Z (partim) Mγ𝔟: om. Y | Inscr.: κ. γ. Z: ἡ τοῦ κ. γ. D: ὅπως (πῶς M) ἐστὶν ἡ τοῦ κ. γέν. Mγ: περὶ τὴν τ. κ. γένεσιν 𝔟 || 5 ἐπιγ. Zγ: αἰσθητοῦ M || 7 περιπολ. ZMγ: περιπολευόντων D || 8 διαλάμψεως Mγ: διαλήψεως Z || 9 θνητοῦ κ. ἐπιγ. Zγ: αἰσθητοῦ M

ᾧ τρόπῳ καὶ ἐμφανεῖς γεγόνασιν ἐπὶ τῆς τῶν ἰδίων ζῳδίων μοιρικῆς θέσεως καθ' αἵρεσιν οἰκείως τεταγμένοι τὴν τοῦ οὐρανοῦ φυσικὴν μελοθεσίαν· ὁ μὲν οὖν Ἥλιος ἐπὶ τοῦ Κριοῦ μοίρᾳ ιθ', ἡ δέ Σελήνη ἐπὶ τοῦ Καρκίνου
5 μοίρᾳ ιε', ὁ δὲ Κρόνος ἐπὶ τοῦ Αἰγοκέρωτος μοίρᾳ ιε', ὁ δὲ τοῦ Διὸς ἐπὶ τοῦ Τοξότου μοίρᾳ ιε', ὁ δὲ τοῦ Ἄρεως ἐπὶ τοῦ Σκορπίου μοίρᾳ ιε', ὁ δὲ τῆς Ἀφροδίτης ἐπὶ τοῦ Ζυγοῦ μοίρᾳ γ', ὁ δὲ τοῦ Ἑρμοῦ ἐπὶ τῆς Παρθένου μοίρᾳ ζ', ἀνατελλούσης τῆς ἐν Καρκίνῳ βάσεως κατὰ
10 τὸν ὡροσκόπον μοίρᾳ ιε', ὥρᾳ ια' νυκτερινῇ καταλαμβανομένῃ. αὕτη ἐστιν ἡ τοῦ θνητοῦ καὶ ἐπιγείου κόσμου γένεσις. ἐν τούτοις τοῖς ζῳδίοις πρῶτον οἱ προκείμενοι

3 μελοθ. cf. Corp. Herm. X 11 (p. 118, 12ss.); Festugière, Rév. Herm. Tr. 89ss.; 92ss.; 127ss.; v. Boll-Bezold-Gundel, Sternglaube[3] p. 138 || 2–9 mundi genitura: cf. B-L 186ss.; St. Weinstock, CCAG IX 2, p. 177 et A new Greek calendar and festivals of the sun (JRS 38 [1948]) p. 39, adn. 27; 28; 29; accurate segregat rationem Chaldaicam ab illa Aegyptiaca, exaltationes enim planetarum Chaldaei (cf. Firm. II, 3, 4, p. 44, 3ss.), domus eorum Aegypti (cf. Firm. III1, p. 91, 11ss.) ad mundi genituram computandam afferunt, quae rationes hoc in capitulo perturbatae et depravatae esse videntur. solis enim exaltatio est *ἐπὶ τοῦ Κριοῦ μοίρᾳ ιθ'*. Schato *ἐπὶ τοῦ Λέοντος* coniecit, ut rationem Aegyptiacam restitueret, qua tamen planetae semper parti XV. signorum attribuuntur. quomodo igitur partes tam diversae explicandae sint, difficile est dictu. Mercurii *ὅριον* est in Virginis parte VII., sed Venus parti III Librae nusquam coniungitur. || 9 *ἐν Καρκ.* cf. B-L 185, 3 || 10 *ὥρᾳ ια' νυκτ.* cf. ib. 186, 1 || p. 100, 1 *αἰώνιον ... πνεῦμα* cf. Porphyr. de abst. II 39 (Bidez-Cumont, Les Mages II p. 278, 2–5) *τὸ δὲ πνεῦμα ᾗ μέν ἐστι σωματικόν, παθητικόν ἐστι καὶ φθαρτόν ... οὐ μὴν ἔστιν αἰώνιον*. non occurunt eadem verba coniuncta, saepius autem similia: cf. Dieterich, Mithraslit.[2] p. 4, 10/11 *ἐποπτεύσω τὴν ἀθάνατον ἀρχὴν τῷ ἀθανάτῳ πνεύματι*, ib. 18–21 *ἐπεὶ μέλλω κατοπτεύειν ... ἀθανάτῳ πνεύματι τὸν ἀθάνατον Αἰῶνα*; cf. etiam Reitzenstein, Mysterienrel. p. 306; 308

2 post *ζῳδ.* Z fin. | *τετ.* Mγ: *τεταγμένην* D || 4 *Κριοῦ* Mγ: ♌ (= *Λέοντος*) Sch || 6. 7 *ιε'* D: *ιδ'* Mγ || 9 *ἀνατελλούσης* Mγ: *ἀνατέλλουσαν* D | *τῆς*: *καὶ* D || 11 *θν. κ. ἐπιγ.* γ: *αἰσθητοῦ τούτου* M

ἀστέρες ἐξεφάνησαν αἰώνιον ἔχοντες πνεῦμα ἐν ἀφθάρτῳ μέρει κείμενοι, ὅθεν καὶ οἰκητήρια αὐτῶν αὐτὰ τὰ ζῴδια κατωνόμασται.

1. 2 *ἐν ἀφθ. μέρει* cf. Aristot. de caelo 270b 6ss.: *πάντες τὸν ἀνωτάτω τῷ θείῳ τόπον ἀποδιδόασι . . . δῆλον ὅτι ὡς τῷ ἀθανάτῳ τὸ ἀθάνατον συνηρτημένον.* cf. etiam Aristot. apud Aet. II 4, 4C p. 332, 3—5: *Ἀριστοτέλης τὸ ὑπὸ τὴν σελήνην μέρος τοῦ κόσμου παθητόν, ἐν ᾧ καὶ τὸ περίγεια* (Cyrill. l. c.: *ἐπίγεια*) *κηραίνεται.* **2** *οἰκητήρια* cf. [Aristot.] de mundo 393a 4/5: *καὶ τὸ μὲν ἄνω πᾶν θεῶν ἀπέδειξεν οἰκητήριον.*

2 *μέρει* Mγ: *μένει* Sch

Add. subscriptionem *Τέλος εἰσαγωγῆς Παύλου Ἀλεξανδρέως* Mγ

APPENDIX

I. Scholia

II. Interpretationes
ab O. Neugebauer additae

III. Index Verborum

I. SCHOLIA

1 ⟨α′⟩ ⟨Σχόλιον⟩· Δίσωμον λέγεται τὸ μεταξὺ ὂν β̄ καιρῶν, οἷον οἱ Δίδυμοι μεταξὺ ἔαρος καὶ θέρους λήγοντος τοῦ ἔαρος καὶ ἀρχομένου τοῦ θέρους, ἤτοι ἐν τῇ λήξει τῶν Διδύμων καὶ ἐν τῇ ἀρχῇ τοῦ Καρκίνου. καὶ ἡ Παρθένος δίσωμον ὡς μεταξὺ οὔσης τῆς λήξεως τοῦ θέρους 5 καὶ τῆς ἀρχῆς τοῦ Ζυγοῦ ἤτοι τοῦ μετοπώρου, καὶ ὁ Τοξότης δίσωμον ὡς μεταξὺ τῆς λήξεως τοῦ μετοπώρου καὶ τῆς ἀρχῆς τοῦ χειμῶνος ἐν Αἰγοκέρωτι, καὶ οἱ Ἰχθύες δίσωμον ὡς μεταξὺ τῆς λήξεως τοῦ χειμῶνος καὶ τῆς ἀρχῆς τοῦ ἔαρος ἐν τῷ Κριῷ. δίσωμον ὡς μεταξὺ 10 ὄντα τῶν δύο σωμάτων ἤγουν τοῦ ⟨ἔαρος⟩ καὶ τοῦ θέρους. ὁ γὰρ ἀὴρ ἔαρ⟨ι⟩ ⟨ὁμολ⟩ογεῖ, τὸ δὲ θέρος πυρί[ων], τὸ δὲ μετόπωρον ⟨γῇ⟩, ὁ δὲ χειμὼν ὕδατι. στερεὰ δὲ λέγεται δυσμετάκλητα καὶ δυσπαθῆ καὶ οὐ μεταβαλλόμενα ἀπὸ τῆς ἰδιοπραξίας αὐτῶν ἀλλὰ μένοντα ἐφ᾽ οἵας 15 ἔτυχον θέσεως ἢ κράσεως κακωτικῆς ἢ ἀγαθοποιοῦ.

2 ⟨β′⟩ ⟨Σχόλιον⟩· Σκοπεῖν δὲ χρὴ τὴν τῶν δώδεκα ζῳδίων ἀποκλήρωσιν πρὸς τὰς ἐγκειμένας χώρας ἐφ᾽ ἑκάστης γενέσεως, ὅταν ἐξετάζομεν περὶ ἀρχῆς ἢ καταστάσεως βίου, ξενιτείας τε καὶ κτήσεως καὶ δόξης ἢ ὠφε- 20

1—16: Z: om. Yβγ || **10. 11** an recte? *σωμάτων* cf. Co. An. in Ptol. Ap. p. 28/29: *δίσωμα, οὐχ ὅτι ἐκ δύο σωμάτων συνέστηκεν, ἀλλ᾽ ὅτι μεταξὺ δύο ὡρῶν εἰσι.* cf. et B-L 152/3 || **11** *ἔαρος* corr.: *ἀέρος* Z || **12** lac. codicis Z explevi || **13** *γῇ* add. || **17—p. 103,8** Zγ: decurtat Y: om. β | hoc additamentum mutilatum a libris manu scriptis et a Schatone capitulo *περὶ ἀναφορῶν* (p. 11, 3) inscripto, quamvis alienum, adiunctum hic scholii loco inserendum esse videtur. || **17** *τὴν* γ: *περὶ* Z: *τὰς* Y || **18** *ἀποκληρώσεις* Y || **19** *ἀρχῆς* Z: *πράξεως ἢ καταρχῆς* γ: *πράξεως περὶ ἀρχῆς* Y || **20** *τε κ. κτ. καὶ* om. Y

λείας πρὸς τὸ συμπαθῶς ἔχειν, οἷον ὅταν ἐπισκεπτώμεθα γένεσιν ἔχειν τὴν Σελήνην ἤ τινα τῶν ἀγαθοποιῶν ἐν Ὑδροχόῳ ἢ καὶ τῶν τῆς αἱρέσεως ἀστέρων ἐν τοῖς ἐπικέντροις τόποις τῆς γενέσεως κεχρηματικότων ἢ ἐν τοῖς 5 *τοῦ Ὑδροχόου τριγώνοις εὑρεθέντων — λέγω δὴ Διδύμοις ἢ Ζυγῷ — λέγομεν τὴν γένεσιν ἐν τῇ Αἰγύπτῳ τὰ πλεῖστα εὐημερεῖν κατὰ τὸν τῆς συμπαθείας λόγον, διὰ τὸ τὸν Ὑδροχόον τῇ Αἰγύπτῳ προσοικειοῦσθαι.*

⟨γ′⟩ ⟨Σχόλιον⟩· Καὶ ζήτει περὶ τούτων τὸν Πορφύ- 3 10 *ριον εἰς τὸ 'Περὶ Χρόνων Ζωῆς' ἐν τῇ ἀρχῇ τῆς ἐξηγήσεως αὐτοῦ μετὰ φύλλα δύο σχεδὸν ἥμισυ.*

⟨δ′⟩ ⟨Σχόλιον⟩· Ταῦτα τὰ ὅριά εἰσι κατ' Αἰγυπτίους 4 *⟨οὐκ⟩ ἀπὸ τοῦ παλαιοῦ βιβλίου τοῦ εὑρεθέντος τῷ Πτολεμαίῳ.*

15 *⟨ε′⟩ ⟨Σχόλιον⟩· Κατ' Αἰγυπτίους τὰ τοιαῦτα ὅρια·* 5 *ἔχουσι δὲ καὶ μοιριασμούς, οὓς ὁ Πτολεμαῖος τὰ τοιαῦτα ἐκτιθεὶς οὐ παρατίθεται.*

⟨ϛ′⟩ Σχόλιον· Πέντε ὄντων τῶν τῆς οἰκοδεσποτείας 6 *τρόπων ἔστιν εἷς καὶ ὁ τῶν ὁρίων. ἡ γὰρ συναγωγὴ* 20 *ἑκάστου τῶν ἀστέρων ἀφ' ἑνὸς ἑκάστου ζῳδίου εἰς ποσότητα περιισταμένη τινά, δηλοῖ τοὺς χρόνους, ὅσους εἷς ἕκαστος τῶν πέντε πλανωμένων δίδωσιν.*

1 *ἐμπαθῶς* Z | *οἷον* Z: om. γ ‖ **1–8** *οἷον — προσοικ.* om. Y ‖ **1** *ἐπισκεπτ.* Z: *σκεπτ.* γ ‖ **2** *ἔχειν* Z: *καὶ ἔχῃ* γ ‖ **2.3** *τινα — Ὑδ. ἢ* Z: *τὸν ὡροσκόπον Ὑδροχόου τῶν ἀγαθοποιῶν* γ ‖ **3–8** *ἐν τοῖς* u. ad *προσοικ.* false post *εἰπεῖν* p. 8, 17) pon. Z ‖ **3** *ἐπικέντροις* γ: *ἐπικαιροτάτοις* Z cf. p. 104, 4; 112, 3 ‖ **4** *τόπ.* γ: *τε τῶν* Z | *κεχρηματικότες* Z | *ἢ* γ: *καὶ* Z ‖ **5** *εὑρεθέντες* Z | *δὴ* Z: *δὲ* γ ‖ **6** *λέγωμεν δὲ* Z ‖ **7** *πλ. μᾶλλον* Z ‖ **8** *προσῳκειοῦσθαι* Z ‖ **9–11** Z: om. Yβγ | Porphyrii capitulum *Περὶ Χρόνων Ζωῆς*, quod Hephaestio quoque laudat, nunc in Introductione eius non invenitur, cf. CCAG V 4, p. 187 ‖ **12–14** Z: om. Yβγ ‖ **13** *οὐκ* add., cf. Ptol. Ap. p. 47; 51/52 ‖ **15–17** γ: om. ZYβ ‖ **18–22** βγ: om. ZY ‖ **18** *σχ.* γ: om. β | *ὄντων* hic om. β ‖ **19** *τρόπων* γ: *λόγων ὄντων ὧν* β ‖ **20** *ἀφ'* γ: *ἐφ'* β cf. Nech. et Pet. Fr. 18, 5 (p. 362 ed. Riess)

7 ⟨ζ'⟩ *Σχόλιον· Εἰς τὸ 'Περὶ Χρόνων Ζωῆς'. Ὅταν ὁ
οἰκοδεσπότης τῆς γενέσεως καλῶς κείμενος ᾖ, τότε δί-
δωσιν οὗτος τὰ τῆς ζωῆς ἔτη· τῆς γενέσεως δὲ οἰκο-
δεσπότης ἐστίν, ὃς ἐπίκεντρος εὑρεθῇ ἐν ὁρίοις οἰκείοις
ἢ ὑψώματι καὶ ἐν τριγώνῳ οἰκείῳ καὶ οἴκῳ, καὶ ἁπλῶς,* 5
*ὃς ἔχει τῶν πέντε οἰκοδεσποτειῶν ἢ πάσας ἤ τινας καὶ
μὴ ὑποποδίζῃ μήτε ὕπαυγος ᾖ, μᾶλλον δὲ ὅστις πλείονας
λόγους ἔχει ἡμερινῆς μὲν γενέσεως οὔσης πρός τε Ἥλιον
καὶ τὸν ὡροσκόπον, νυκτερινῆς δὲ πρὸς Σελήνην καὶ τὸν
κλῆρον τῆς Τύχης.* 10

8 ⟨η'⟩ ⟨*Σχόλιον*⟩, quod in mg. tabellae p. 14 pon. Z:
*Ὅταν εὕρῃς πέντε πέντε, λέγε πέντε ἤτοι πέντε, πάλιν
πέντε ἤτοι δεύτερον, ἤγουν τὰ πρῶτα πέντε σὺν τοῖς
δευτέροις, ἤγουν τὰ κάτωθεν πέντε, γίνονται δέκα, ὅπερ
δεύτερον κεῖται ἐπ' εὐθείας· τρίτ⟨ον⟩ ς̄, ἃ σὺν τοῖς* 15
*πρώτοις πέντε καὶ τοῖς κάτωθεν πέντε σὺν τοῖς τρίτοις ς̄
γίνονται ις̄. καὶ ἑξῆς ὁμοίως.*

9 ⟨θ'⟩ ⟨*Σχόλιον*⟩· *Ὑπόκεινται τούτοις τοῖς δεκανοῖς οἱ
προειρημένοι ἐν τῷ ζῳδιακῷ κύκλῳ παρανατέλλοντες.
ἔχουσι δὲ καὶ πρόσωπα τῶν ἑπτὰ ἀστέρων, ἅτινα συμπά-* 20
*θειαν ἔχουσι πρὸς τοὺς ἐπικειμένους αὐτοῖς ἀστέρας,
οἷον ὑπόθου τὸν Ἥλιον εἶναι Κριοῦ μοίρᾳ ι', δεκανῷ
πρώτῳ, προσώπῳ τοῦ Ἄρεως· ἐπεὶ οὖν εἰρήκαμεν τὸν
Ἥλιον σημαίνειν τὰ ψυχικά, εὑρήσεις τὴν ψυχὴν τούτου
ἔπανδρον, θυμικήν, πολεμοχαρῆ, φίλοπλον καὶ τὰ ὅμοια.* 25

18 Tabellae adiungunt scholii loco i. mg. capitulum 48 e Porphyrii Introductione quasi immutatum depromptum (cf. CCAG V 4, p. 220, 9—221, 4) 𝔅𝔍𝔅; cf. Gundel, Dekane p. 250/1

1—10 βγ: om. ZY || **1** *Σχ.* 𝔖: om. βγ | *εἰς τὸ* γ: om. β | *ὅταν γὰρ* β || **4** *ὃς ἂν* β | *εὑρεθῇ* β || **6** *οἰκοδεσποτειῶν* β: *οἰκοδεσποτείας* γ || **10** post *Τύχ.* add.: *πέντε τῶν τῆς οἰκοδεσποτείας λόγων ὄντων* γ: om. β Sch || **11—17** Z: om. Yβγ || **13** et **15** *δεύτερον*? in Z scriptum i. cp. || **18**—p. 105, 10 𝔅𝔍𝔅 | *δεκανοῖς* 𝔅𝔍 (i. cp.): *κανόσιν* 𝔅 || **19** *παραν.* 𝔅𝔍: *παρὰ ἀνατ.* 𝔅 || **24** *τούτου* 𝔅𝔍: *αὐτοῦ* 𝔅: *τοῦ τοιούτου* Porph.

εἰ δὲ τύχῃ πάλιν εἶναι τὸν Ἥλιον Κριοῦ μοίρᾳ κ' δεκανῷ δευτέρῳ, προσώπῳ τοῦ Ἡλίου, σημαίνει τὸν τοιοῦτον εἶναι λαμπρὸν τὴν ψυχήν, φιλόδοξον, φιλότιμον καὶ οὐκέτι πολεμοχαρῆ. εἰ δὲ τύχῃ πάλιν εἶναι τὸν Ἥλιον 5 *Κριοῦ μοίρᾳ λ', δεκανῷ τρίτῳ προσώπῳ δὲ Ἀφροδίτης, σημαίνει τὸν τοιοῦτον εἶναι θηλυκόψυχον, θηλύμορφον, ἔπαισχρον, λάγνον καὶ τὰ ὅμοια. ὅρα γοῦν, πῶς ἐν ἑνὶ ζῳδίῳ τρεῖς διαφοραὶ περὶ τὰ ψυχικὰ μόνον ὑπεδείχθησαν. ἔγκειται δὲ καὶ τῶν δεκανῶν καὶ τῶν παρανατελ-* 10 *λόντων αὐτοῖς καὶ τῶν προσώπων τὰ ἀποτελέσματα.*

10 *⟨ι'⟩ Σχόλιον· Πρόσωπα τοὺς δεκανοὺς λέγει, οἵτινές εἰσι δεκάμοιροι· ὁ μὲν πρῶτος ἔχει ῑ μοίρας, ἤτοι ἅπαξ δέκα, ὁ δεύτερος ῑ, ἃ γίνεται δὶς δέκα, ἤτοι κ̄, ὡς ὑποτέτακται, ὁ τρίτος ῑ, ἃ γίνεται ὁμοῦ λ̄.*

11 15 *⟨ια'⟩ ⟨Σχόλιον⟩· Ἐπεὶ δὲ ἕκαστον τῶν ζῳδίων εἰς τρεῖς δεκανοὺς διαιρεῖται κατὰ δεκαμοιρίας, ἐν ἑκάστου δὲ διαμορφώσει δεκανοῦ πρόσωπον τοῦ δέ τινος τῶν ἑπτὰ ἀστέρων ἐμφαίνεται, ᾧ χαίρει ὥσπερ ὅλῳ τῷ ζῳδίῳ οἴκῳ ὄντι ἑαυτοῦ, φέρε ἀποδῶμεν καὶ τὴν περὶ τού-* 20 *του ἔφοδον ὁμοίως οὖσαν τῇ προειρημένῃ τῶν τε πολευόντων καὶ διεπόντων· ἀρξάμενοι γὰρ ἀπὸ Κριοῦ τὸν μὲν πρῶτον αὐτοῦ δεκανὸν ἀπονέμωμεν τῷ Ἄρει, διὰ τὸ τὸν Κριὸν οἶκον εἶναι τοῦ Ἄρεως, τὸν δὲ δεύτερον δεκανὸν τῷ Ἡλίῳ, τὸν δὲ τρίτον τῇ Ἀφροδίτῃ, τὸν δὲ* 25 *πρῶτον δεκανὸν τοῦ Ταύρου τῷ Ἑρμῇ, τὸν δὲ δεύτερον τῇ Σελήνῃ, τὸν δὲ τρίτον τῷ Κρόνῳ καὶ ἐφεξῆς τῇ αὐτῇ τάξει. διὰ μέντοι τὸ εὐσύνοπτον καὶ κανόνα ἐξεθέμεθα ἔχοντα οὕτως.*

1 *εἰ δὲ τύχῃ* 𝔅𝔍: *εἰ δὲ* 𝔙: *ὑπόθου δὲ* Porph. || 4 *εἰ δὲ τύχῃ* 𝔅𝔍𝔙: *ὑπόθου δὲ* Porph. || 9 *παρανατ.* 𝔅𝔍 Porph.: *παρατ.* 𝔙 || 11–14 Z (pon. post *ὑπετάξαμεν* p. 17, 10): om. Yβγ || 15—28 𝔅: 21—28 𝔙 (15—21 om.), qui autoris nomine et inscriptione omissis haec verba in margine tabellae p. 16 ponunt. l f. 215 (cf. CCAG I, p. 18) et 𝔷 f. 161 (cf. CCAG V 4, p. 50) inscriptione '*περὶ τῶν* (om. 𝔷) *προσώπων, ἃ ἐπέχουσιν οἱ ζ̄ ἀστέρες ἐν τοῖς τῶν ζῳδίων δεκανοῖς*' addita hoc capitulum syntagmati insertum praebent.

12 ⟨ιβ'⟩ ⟨Σχόλιον⟩· Ὅτι οἱ ἑπτὰ ἀστέρες, οἱ πλάνητες, καλοῦνται πρόσωπα ἰδιόρυθμα, ἄλλην καὶ ἄλλην δύναμιν λαμβάνοντα κατὰ τοὺς τρεῖς δεκανοὺς ἐν ἑνὶ ἑκάστῳ τῶν δωδεκατημορίων. τούτοις τοῖς ἑπτὰ συμπαθοῦσι οἱ παρα- ματέλλοντες καὶ γίνονται συμπαθοῦντες τοῖς τρισὶ δε- 5 κανοῖς, καὶ κατὰ τὰς δυνάμεις τὰς δεκανικὰς ἀλλοιοῦνται αὐτοὶ οἱ παρανατέλλοντες. ὥσπερ γὰρ ὁ Ἥλιος ὢν ἐν τῷ τοῦ Ἄρεως κατὰ τὸν πρῶτον δεκανὸν ἐν Κριῷ δηλονότι δύναμιν ἔχει[ν] ἄλλην, ἣν λέγει τὸ παρὸν κε⟨φάλαιον⟩, οὕτω πάλιν ὁ αὐτὸς Ἥλιος ἐν δευτέρῳ ὢν δεκανῷ ἄλλην 10 ἰσχὺν λαμβάνει, ἣν ἔχει αὐτὸς δηλονότι ἐν ἑαυτῷ καὶ καθ' ἑαυτὸν ὤν. ὁμοίως συνδυναμοῦνται καὶ οἱ τούτοις παρανατέλλοντες καὶ ἢ κακοῦνται ἢ ἀγαθύνονται· ὁμοίως τούτοις καὶ ἐπὶ πάντων τῶν τριάκοντα ἓξ δεκα- νῶν τῶν δώδεκα δηλονότι ζῳδίων πρόσωπα γνῶθ⟨ι⟩ 15 αὐτοὺς τοὺς ⟨ἑπτ⟩ὰ πλανήτας ὡς ὄντας μὲν καθ' ἑαυ- τοὺς ἰδιορυθμ⟨ίας⟩ ἰδίας καὶ ἰδίας φύσεως, εἴ γε τὰ τοῖς δεκανοῖς συναλλοιουμένους [..] δέκα † δέκα μοίραις χαί- ροντας α α α α.

13 ⟨ιγ'⟩ Σχόλιον· Πρῶτος ὁ Ἄρης λαμβάνει ἐν τῷ 20 Κριῷ ὡς οἰκοδεσπότης μοίρας δεκανικὰς τρίτος ὢν ἀπὸ 21 τοῦ Κρόνου πρώτου ὄντος ἐν τῇ κατὰ τὴν ἑπτάζωνον τάξει. λέγομεν γὰρ οὕτως· ἐν τῇ πρώτῃ ζώνῃ ἐστὶν ὁ Κρόνος, ἐν τῇ δευτέρᾳ ὁ Ζεύς, καὶ καθεξῆς οἱ λοιποί. μετὰ δὲ τὸν Ἄρεα λαμβάνει ὡς δεύτερον, ὁ Ἥλιος τέ- 25 ταρτος ὢν τῇ τάξει, ὡς εἴπομεν, εἶτα ἡ Ἀφροδίτη τρίτη, πέμπτον κατὰ ταῦτα ἔχουσα τόπον. μετὰ δὲ τοῦτον ὁ τοῦ Ἑρμοῦ ἀπ' ἀρχῆς τοῦ Ταύρου ἕκτην ἔχων τὴν τάξιν,

1—19 Z: om. Yβγ: cf. Gundel, Dekane p. 249; 418. *κεφ.* suppl. Boudreaux ‖ **9** *ἔχει* coni.: *ἔχειν* Z ‖ **12** *ὢν* coni.: *ὄν* Z ‖ **14** *τούτοις* coni.: *τουτ̄* (= *τούτων*) Z ‖ **15** *γνῶθ⟨ι⟩* Boudr. ‖ **16** *ἑπτ.* suppl. Boudr. ‖ **17** *ἰδιορυθμίας* coni.: *ἰδιορύθμους* Z ‖ **18** [..] lac. Z ‖ **19** *αααα* ad tabellam (p. 17) demonstrare videtur, cuius in margine etiam *α* quater repetitur ‖ **20**—p. 107, 9 γ: om. ZYβ ‖ **20** *Σχόλιον* γ (*Σχ. εἰς τὸ αὐτό* D): i. mg. add. planetarum seriem: ♄ ♃ ♂ ☉ ♀ ☿ ☾ γ

μετ' αὐτὸν ἡ Σελήνη. εἶτα πάλιν ὡς ἀπ' ἀρχῆς ὁ Κρόνος μέχρις οὗ συμπληρωθεῖ ἡ ἑπτάζωνος κάθοδος καὶ τάξις. καὶ ἐπανακυκλοῦσι τοιουτοτρόπως οἱ ἑπτὰ πλάνητες εἰς τὰς δεκανικὰς μοίρας τῶν δώδεκα ζῳδίων. ἀπὸ γὰρ τοῦ 5 *Ἄρεως τῆς ἀρχῆς γενομένης γέγονεν ἡ πρόοδος ἄχρι* D 1 *τῆς ζ' μοίρας, ἥτις ἐπιβάλλει τῷ Διί, καὶ ἐπεὶ μετὰ τοῦτον ὁ Ἄρης ἐστίν, ὡς ἀπ' ἀρχῆς ἑτέρας, τῷ Ἄρει πάλιν ἡ η' μοῖρα ἀπονενέμηται καὶ ἐφεξῆς μέχρι τῆς ιδ'. μετὰ δὲ ταύτην, πάλιν ὁ Ἄρης ἔσχε τὴν ιε' καὶ ἐφεξῆς.*

10 *⟨ιδ'⟩ ⟨Σχόλιον⟩· Ἐὰν γὰρ τυχὸν ὁ Ἄρης ε̄ ἢ ῑ λεπτὰ τῆς πρώτης μοίρας ἐπέχῃ Κριοῦ, ὡς ὅλην μίαν μοῖραν* 14 *ἡγήσῃ ταῦτα, ὡσαύτως καὶ ἐὰν ἄλλος ἀστὴρ ἐπέχῃ ταῦτα, φήσεις ἐν μονομοιρίᾳ Ἄρεως τὸν ἀστέρα εἶναι.*

⟨ιε'⟩ ⟨Σχόλιον⟩· Τὸ κανόνιον τῆς μονομοιρίας συμ- 15 *βάλλεται, πῶς ὀφείλομεν γινώσκειν τὰ συμπαθοῦντα ἀλ-* 15 *λήλοις ζῴδια, κἂν ἀσύνδετα ὦσι καὶ ἀπόστροφα πρὸς ἄλληλα, ⟨κα⟩ὶ πρὸς γνῶσιν τῶν ὁμοζωνούντων ἀλλήλοις καὶ μειούντων τὰ ἑαυτῶν κακωτικά, ἐν τῷ εὑρίσκεσθαι ἔστιν ὅτε ἐν τοῖς αὐτοῖς οἴκοις ἢ ἐν τῷ εἶναι ἰσανάφορα* 20 *καὶ συσχηματιζόμενα, καὶ ἀναγίνωσκε τὸ η' καὶ θ' καὶ ι' κε⟨φάλαιον⟩ καὶ παρακολουθήσεις τούτῳ τῷ κανονίῳ τῆς μονομοιρίας καὶ τὸν εὑρισκόμενον ἐξηγητὴν εἰς πάντα τοῦ Παύλου τὴν ἐξήγησιν ἀπὸ τοῦ ἡμίσεως τοῦ η' κεφαλαίου. οὐχ εὑρίσκεται γὰρ ἡ ἐξήγησις ἀπ' ἀρχῆς* 25 *μέχρι τοῦ ἡμίσεως τοῦ η' κεφαλαίου. συμβαλεῖται δὲ τὸ τοιοῦτον κανόνιον τῆς μονομοιρίας εἰς τὰς κατὰ σῶμα*

5 *πρόοδος* **γ**: *πρόσοδος* Sch || **10—13** **βγ**: om. **ZY** || **11** *ἐπέχῃ* **β**: *ἐπέχει* **γ** || **12** *ἡγήσῃ* **γ**: *ἡγησόμεθα* **β** | *ἐπέχῃ* **β**: *ἐπέχει* **γ** || **13** *φήσεις* **γ**: *φήσομνν* **β** || **14** Hoc scholium cum scholio 12 coniungit **Z**: om. **Yβγ** || **15** *πῶς* i. cp. **Z** || **17** *καὶ* conieci: *ὅτι* Boudreaux || **18** *κακοτικά* **Z**: corr. || **20**—p. 108, 8 Vestigia numerorum, quibus capitula librorum et Pauli et Heliodori significantur, nusquam nisi hoc in scholio inveniuntur, cf. praef. p. XV, 15

μόνον συναφὰς τῶν ἀστέρων ἴσως δὲ καὶ εἰς τὰς κατὰ σχῆμα συναφάς. διττὴ γὰρ ἡ συναφὴ ἢ κατὰ σχῆμα ἢ κατὰ σῶμα. εἰς δὲ τὰς τῶν ἀστέρων ἀπορροίας οὐκ οἶμαι τοῦτο τὸ κανόνιον εἶναι χρήσιμον. μᾶλλον δὲ ἀφεὶς ταῦτα ἀναγίνωσκε τὴν λ′ πρᾶξιν τῆς ἐξηγήσεως τοῦ Παύλου, καὶ σκόπησον ἐκείνην ἀκριβῶς καὶ γνώσει ταῦτα. ἔστι δὲ ἡ λ′ ἐξήγησις περὶ ἐνιαυτῶν, μηνῶν, ὡρῶν.

16 *⟨ις′⟩ Σχόλιον· Οἱ Δίδυμοι βλέπουσι τὸν Λέοντα, ὥστε* 𝔇2 *τὸ διὰ Διδύμους καὶ Καρκίνον καὶ Λέοντα ἑξάγωνόν ἐστιν ἀγαθόν, ὡσαύτως δὲ καὶ τὸ διὰ Τοξότην καὶ Αἰγοκέρωτα καὶ Ὑδροχόον. τὰ δ' ἄλλα ἑξάγωνα οἷον Ταῦρος, Δίδυμοι, Καρκίνος, ἢ Ἰχθύες, Κριὸς καὶ Ταῦρος, ἢ Λέων, Παρθένος καὶ Ζυγὸς οὐκ εἰσι τοιαῦτα, ἀλλὰ τῇ διαμέτρῳ μάλιστα καὶ τῇ τετραγώνῳ προσεοίκασι, περὶ ὧν καὶ ἐν τῷ μετὰ τούτῳ κεφαλαίῳ φησί, τῷ περὶ τῶν κατὰ σχῆμα. ἀσύμφωνον γὰρ τὸ διάμετρον. διότι, εἰ καὶ ἀπὸ ἄρρενος εἰς ἄρρεν ἐστίν, ἢ ἀπὸ θήλεος εἰς θῆλυ, ἀλλὰ τοῦ ἑνὸς ἀνατέλλοντος τὸ ἕτερον δύνει· καὶ διὰ τοῦτο μέσον πως ἔστι τοῦ τε συμφώνου καὶ ἀσυμφώνου. τὸ δὲ τετράγωνον ἀπὸ ἄρρενος εἰς θῆλυ καὶ ἀπὸ θήλεος εἰς ἄρρεν, καὶ διὰ τοῦτο πάντῃ καθέστηκεν ἀσύμφωνον. ὡσαύτως καὶ ἐπὶ τῶν ἀκουόντων καὶ προστασσόντων· σύμφωνα καὶ ἀγαθὰ ἑξάγωνα τὸ διὰ Παρθένον, Ζυγὸν καὶ Σκορπίον. προστάσσει γὰρ τὸ τῆς Παρθένου, ὑπακούει τὸ τοῦ Σκορπίου, καὶ τὸ διὰ Ἰχθύας, Κριόν, Ταῦρον. τὰ δ' ἄλλα πάλιν ἑξάγωνα καὶ τούτοις ἀσύμφωνα.*

17 *⟨ιζ′⟩ Σχόλιον· Σκοπεῖν οὖν χρή, πότερον καθ' αἵρεσιν ὑπάρχουσιν ἢ παρ' αἵρεσιν, καὶ πότερον ὑπὸ ἀγαθοποιοῦ ἢ κακοποιοῦ σχηματίζονται, καὶ ὑπὸ συναιρέτου ἢ οὐ συναιρέτου.*

9—27 βγ: om. ZY ‖ **22** *καθ.* γ: *ἐστὶν* β ‖ **28—31** γ: om. ZYβ

⟨ιη'⟩ *Σχόλιον· Δεξιὰ λέγεται τὰ ἐν τοῖς ἡγουμένοις,* 18
ἀριστερὰ δὲ τὰ ἐν τοῖς ἑπομένοις. ἐν γοῦν τοῖς κατ᾽
ἐπιδεξιότητα πλείονα δύναμιν ἔχει τὰ πλείονα διάστασιν
ἔχοντα ἐν τοῖς ὁμοζώνοις.

5 ⟨ιθ'⟩ ⟨*Σχόλιον*⟩· *Περιπολεύοντας λέγει τοὺς τρεῖς Κρό-* 19
νον, Δία καὶ Ἄρην ὡς πέριξ πολοῦντας καὶ πᾶν διάστημα
τοῦ Ἡλίου ἀφισταμένους.

⟨κ'⟩ *Σχόλιον· Οἱ τρεῖς Κρόνος, Ζεὺς καὶ Ἄρης, οὗτοι* 20
γὰρ σχηματίζονται πρὸς τὸν Ἥλιον κατὰ πάντα σχηματι-
10 *σμόν.*

⟨κα'⟩ *Σχόλιον* [*Α'*]· *Ἐπὶ μὲν τῶν τριῶν ἀστέρων νοη-* 21
τέον τὴν ἑῴαν ἀνατολὴν καὶ τὴν ἑσπερίαν δύσιν, τὴν δὲ
ἑσπερίαν ἀνατολὴν καὶ ἑσπερίαν δύσιν καὶ ἑῴαν ἀνατο-
λὴν καὶ ἑῴαν δύσιν ἐπὶ τῶν δύο νοητέον, Ἑρμοῦ καὶ Ἀφρο-
F 4 *δίτης. ἀκρόνυκτος λέγεται, ὅταν ὁ Ἥλιος δύνῃ, οὗτος δέ,*
16 *οἷον ὁ Κρόνος, ὁ Ζεὺς ἢ ὁ Ἄρης ἀνατέλλῃ. ἐπὶ γοῦν τῶν*
τριῶν ἀστέρων νοεῖν δεῖ ἑῴαν φάσιν καὶ ἑσπερίαν κρύψιν.
ἑῴαν γὰρ κρύψιν καὶ ἑσπερίαν φάσιν ἐπὶ τῶν τριῶν τούτων
οὐκ ἄν τις εὕροι. εἰ γὰρ ἑῴα κρύψις ἐστί, ὥσπερ ἐπὶ τῶν
20 *ἄλλων δύο γίνεται δῆλον, ὅταν τῆς τελείας ἀπὸ τοῦ Ἡλίου*
𝔈 4 *ἀποστάσεως γινομένης τοῦ ἀστέρος αὖθις προποδίζῃ ὁ*
ἀστήρ, καὶ ἐπὶ τὸν Ἥλιον αὐτὸν χώρῃ, ἐπὶ τῶν τριῶν τού-
των μὴ δυναμένου τούτου γίνεσθαι διὰ τὸ μὴ περὶ αὐτὸν
τὸν Ἥλιον τοὺς ἀστέρας τούτους κινεῖσθαι, πῶς κρύψιν
25 *ἑῴαν πρὸς αὐτὸν ποιήσονται γινόμενοι κατὰ τὸ ἀπόγειον*
τοῦ ἐπικύκλου καὶ ἀποστάντες τούτου πολλὴν διάστασιν;
ἐπὶ γὰρ τοῦ Ἑρμοῦ καὶ τῆς Ἀφροδίτης τοῦ κέντρου τοῦ
ἐπικύκλου τὸ αὐτὸ σημεῖον ἐπέχοντος τῇ μέσῃ τοῦ Ἡλίου

1—4 γ: om. ZYβ || 5—7 L: om. Zβγ; in textu: *ὅτι περι-πολοῦντας νῦν ἀστέρας λέγε ♄ καὶ ♃ καὶ ♂· διότι πέριξ πολοῦσι καὶ πᾶν διάστημα τοῦ Ἡλίου ἀφίστανται* **Y || 8—10 γ: om. LZYβ || 11—p. 111,4** *Σχόλιον Α'*: **γ (D abhinc pluribus scholiis numeros addit): om. LZYβ**

*κινήσει, ὅταν ἀπὸ τοῦ δευτέρου στηριγμοῦ, ὡς ἐπὶ τὸ ἀπό-
γειον τοῦ ἐπικύκλου προΐωσι, τότε ποιοῦνται τὴν ἑῴαν
κρύψιν. τοῦτο δὲ περὶ τοὺς τρεῖς οὐ γίνεται. τὸ γὰρ κέν-
τρον αὐτῶν πόρρω τῶν τοῦ Ἡλίου κινημάτων γίνεται,
καὶ μόνον τηνικαῦτα κατὰ τὸ ἀπόγειον τοῦ ἐπικύκλου ὁ* 5
*ἀστήρ ἐστι καὶ ὁ Ἥλιος ἅμα, ὅταν ἡ ἑσπερία κρύψις
γίνηται. μετὰ δὲ τοῦτο κατὰ τὸν ἑῷον ὁρίζοντα καὶ τοῦ
Ἡλίου καὶ τοῦ ἀστέρος γινομένου, ὁ μὲν Ἥλιος ἐπὶ τὰ
ἑπόμενα χωρῶν ἔξεισι τὸ κέντρον τοῦ ἐπικύκλου. ὁ δὲ
ἀστὴρ ἀπὸ τοῦ ἀπογείου τοῦ ἐπικύκλου κατερχόμενος,* 10
*ὅταν ὁ Ἥλιος σύμμετρον ἀποστῇ ιε̅ τυχὸν ἢ καὶ κ̅ μοίρας,
τότε ὁ ἀστὴρ ἑῴαν ποιεῖται φάσιν κατερχόμενος ἀπὸ τοῦ
ἀπογείου τοῦ ἐπικύκλου, τριγωνικὴν δὲ ἀπόστασιν τοῦ
Ἡλίου ποιησαμένου, κατιὼν ὁ ἀστὴρ καὶ ἔτι καὶ γενόμε-
νος ἐν τοῖς προηγουμένοις τοῦ ἐπικύκλου, ποιεῖται στηρι-* 15
*γμόν· γινόμενος δὲ κατ᾽ αὐτὸ τὸ περίγειον τοῦ ἐπικύκλου
καὶ τοῦ Ἡλίου ἐπὶ πλέον ἀποχωρήσαντος, γίνεται ἀκρό-
νυκτος, ὡς συμβαίνειν τοῦ Ἡλίου ἀνατέλλοντος τὸν ἀστέρα
δύνειν, καὶ ἀνάπαλιν τοῦ ἀστέρος ἀνατέλλοντος τὸν Ἥλιον
δύνειν. πλέον δὲ τοῦ Ἡλίου ἀποστάντος, τουτέστιν ἕως* 20
*σμ̅ μοιρῶν ἐπὶ Κρόνου καὶ Διός, ἐπὶ δὲ τὰ ἡγούμενα μοι-
ρῶν ρκ̅, συμβαίνει πάλιν τὸν δεύτερον γίνεσθαι στηριγμόν,
τοῦ ἀστέρος παρελθόντος τὸ περίγειον τοῦ ἐπικύκλου καὶ
γενομένου κατὰ τὴν ὁμοταγῆ θέσιν, ἔνθα ὁ πρῶτος ἐγέ-
νετο στηριγμός. καὶ ἔστι τὸ μὲν πρῶτον τρίγωνον τὸ* G1
κατὰ τὸν πρῶτον στηριγμὸν ἀπόστασις τοῦ ἀστέρος πρὸς 25
*τὸν Ἥλιον κατὰ δεξιὸν τρίγωνον. ἐπὶ τὰ ἡγούμενα γὰρ
αὐτοῦ ἀφίσταται. τὸ δὲ δεύτερον τρίγωνον εὐώνυμον.
ἐπὶ τὰ ἑπόμενα γὰρ ὁ ἀστὴρ ἀφίσταται. προχωρήσαντος
δὲ καὶ ἔτι τοῦ Ἡλίου ὡς συνεγγίσαι τῷ κέντρῳ τοῦ ἐπι-* 30
*κύκλου, προβαίνει καὶ ὁ ἀστὴρ ἔτι, καὶ γίνεται κατὰ τὸ
ἀπόγειον τοῦ οἰκείου ἐπικύκλου. ἔνθα καὶ πρότερον τῷ
μέσῳ συνέμιξεν Ἥλιος· καὶ πάλιν γίνεται σύνοδος κατὰ
τὸν ἑσπέριον ὁρίζοντα, καὶ λέγεται τότε κρύψις. ἐπεὶ γὰρ* 𝔉1
πρότερον φαινόμενος, νῦν ἀφανής ἐστι, συνελθόντος αὐτῷ 35
τοῦ Ἡλίου· δῆλον ὡς κρύπτεται. καὶ οὐκ ἔστιν εἰπεῖν ἐπὶ

τῶν τριῶν τούτων ἑσπερίαν φάσιν. μάτην οὖν τούτῳ ἐρραψώδηται τὸ καὶ ἐπὶ τῶν τριῶν τούτων λέγειν ἑσπερίαν φάσιν ἢ κρύψιν ἑῴαν, ἅπερ ἐπὶ τῶν ἄλλων δύο νοοῦνται καὶ γίνονται.

⟨κβʹ⟩ ⟨Σχόλιον⟩· Ἰστέον, ὅτι, ὁπόταν ὁ Ἥλιος ἔρχεται κατόπισθεν τοῦ Διὸς ἢ τοῦ Κρόνου ἢ τοῦ Ἄρεως, ἀπέχει ἀπ᾽ ἐκείνων μοίρας ι̅ε̅, λέγονται οἱ ἀστέρες ἐκεῖνοι δυτικοί. ὅταν δὲ τελείως μοιρικῶς τούτους φθάσῃ, λέγονται ὕπαυγοι. ὅταν δὲ ἀποστῇ τούτων ὁ Ἥλιος μοίρας ι̅ε̅ ἢ καὶ ι̅, λέγονται οἱ ἀστέρες ἐκεῖνοι ἑῷοι ἀνατολικοί. ὅταν δὲ διαμετρήσας ἀπὸ τῶν τριῶν τούτων τινά, λέγεται ἀκρόνυκτος. ἀκρόνυκτος δὲ λέγεται, διότι δύναντος τοῦ Ἡλίου φαίνεται οὗτος. ἐπὶ δὲ Ἑρμοῦ καὶ Ἀφροδίτης οὐχ οὕτως ἔχει, ἀλλὰ πάντοτέ εἰσι σχεδὸν μετὰ τοῦ Ἡλίου, καὶ ὅταν μὲν ὦσι προποδισμένοι, φθάνωσι τὸν Ἥλιον οὗτοι. καὶ ὅταν τοῦτον φθάσωσι μοιρικῶς, λέγονται ὕπαυγοι. ὅταν δὲ ἀποστῶσιν ἀπ᾽ ἐκείνου μοίρας ι̅ε̅, τότε λέγονται ἑσπέριοι ἀνατολικοί. ὅταν δὲ στηρίζωσι τὸν πρῶτον στηριγμὸν καὶ ὑποποδίζωσι, φθάνει τούτους ὁ Ἥλιος, καὶ ὅταν τούτους φθάσῃ μοιρικῶς, λέγονται ὕπαυγοι. ὅταν δὲ ἀποστῇ ἀπὸ τούτων μοίρας ι̅ε̅, λέγονται ἑῷοι ἀνατολικοί. 22

⟨κγʹ⟩ ⟨Σχόλιον⟩· Μάλιστα εἰ καὶ τῆς αἱρέσεως εἶεν ἔνκεντροι ἐν οἰκείοις κείμενοι τόποις. εἰ δὲ μή, ἀμβλύνονται. 23

⟨κδʹ⟩ Σχόλιον [Βʹ]· Ἑρμῆς καὶ Ἀφροδίτη πρὸς μὲν τὸν Ἥλιον οὔτε τρίγωνον ποιοῦσιν οὔτε ἑξάγωνον οὔτε τινὰ σχηματισμόν. πῶς γάρ; τοῦ μὲν κ̅β̅ ἀφεστῶτος μοίρας, τῆς δὲ μ̅η̅; ἀλλήλους δὲ ἑξαγωνίζουσιν, ὅταν ὁ μὲν περὶ τὰ ἑπόμενα τοῦ Ἡλίου μοίρας κ̅β̅ ἀφίσταται, ἡ δὲ εἰς τὰ ἡγούμενα μ̅η̅. γίνονται γὰρ ξ καὶ πλεῖον, ὅπερ ἑξάγωνόν ἐστιν. 24

5–21 Z: om. LYβγ || 22–24 L: om. ZYβγ || 25–31 *Σχόλιον Βʹ* **γ: om. LZYβ**

25 *⟨κε′⟩ Σχόλιον [Γ′]· Οὐ καλῶς τοῦτό φησιν. ἑσπερίους γὰρ ἀποστῆναι τοῦ Ἡλίου τοὺς τρεῖς τούτους ἀστέρας εἰς τὸ εὐώνυμον τρίγωνον ἀδύνατον, ὡς συνοδεύοντας αὐτῷ καὶ ἔπειτα ἀποστάντας, διὰ τὸ καταλαμβάνεσθαι αὐτοὺς ἀπὸ τοῦ Ἡλίου. ἐπὶ δὲ τῶν δύο οὐδὲ ὅλως τρίγωνον πρὸς* 5 *τὸν Ἥλιον ἢ ἕτερον σχῆμα γίνεται.*

26 *⟨κϛ′⟩ Σχόλιον· Γίνονται γὰρ καὶ πρὸς τὴν Σελήνην δορυφορίαι καὶ ἐν τοῖς ἡγουμένοις καὶ ἑπομένοις ἐν τῷ αὐτῷ ζῳδίῳ μέχρι γὰρ τότε ἑῷον ἀνατολικὸν τὸν ἀστέρα ἢ ἑσπέριον λέγομεν, μέχρις ἂν ἐξέλθῃ τὸ ζῴδιον ἡ Σελήνη,* 10 *ἐν ᾧ πεποίηνται πρὸς αὐτὴν τὰς φάσεις οἱ ἀστέρες.*

27 *⟨κζ′⟩ Σχόλιον· Τουτέστιν ἐν τῷ ὡροσκόπῳ ἢ ἐν τῷ μεσουρανήματι. οὗτοι γὰρ λέγονται ἐπίκαιροι τόποι.*

28 *⟨κη′⟩ Σχόλιον· Ὅταν τὸν Ἥλιον ἔχῃ τις ἐν τῷ ἰδίῳ οἴκῳ, τότε οἰκοδέκτωρ αὐτοῦ λέγεται.* 15

29 *⟨κθ′⟩ Σχόλιον· Μετὰ γὰρ τὸν πρῶτον στηριγμὸν ἀφαιρεῖ πλεῖον ἐπὶ τοῦ ζῳδιακοῦ κινούμενος ἐν τῷ ἐπικύκλῳ κατὰ τὸ περίγειον, ἀφαιρούντων τῶν ἐν τῷ περιγείῳ ἡμερησίων κινημάτων τινὰ λεπτὰ ἐν τῷ ζῳδιακῷ.*

30 *⟨λ′⟩ Σχόλιον· Μέχρι γὰρ δ̄ ζῳδίων προστιθεὶς στηρί-* 20 *ζει τηνικαῦτα, μετὰ δὲ τοῦτο ἄρχεται ἀφαιρεῖν, τοῦ Ἡλίου προιόντος ἐπὶ τὸ μετ᾽ αὐτὸν ε′ ἢ καὶ ϛ′ ζῴδιον.*

1—6 *Σχόλιον Γ′* γ: om. LZYβ || **7—11** βγ: om. LZY || **9** *τότε* β: *τότε αὐτῆς* γ || **12. 13** βγ: om. LZY || **13** *ἐπίκαιροι* βγ, sic et textus, sed cf. p. 103, 3 || **14. 15** βγ: om. LZY || **16—19** γ (*δ′* add. D): om. ZYβ || **19** *ἡμ.* 𝔉: *ἡμερησινῶν* D𝔏 Sch | post *ζῳδ.* add. *τὸ πρῶτον* γ: om. Sch || **20—22** γ (*ε′* add. D): om. ZYβ

⟨λα′⟩ Σχόλιον· Ἀπὸ τοῦ περιγείου τοῦ ἐπικύκλου ἀνερχόμενοι μετὰ τὴν ἀκρόνυκτον εἰς τὸ ἀπόγειον, ἵνα καὶ ὁ δεύτερος στηριγμὸς γένηται. 31

G4 *⟨λβ′⟩ Σχόλιον· Οὐδὲ γὰρ ἐν ταῖς ρ̅κ̅ μοίραις οὗτος* 32
5 *στηρίζει, ἀλλ᾽ ἢ ἐν π̅β̅ ἢ π̅δ̅. διὸ καὶ ἀνωμάλως λέγεται στηρίζειν· γίνεται δὲ τοῦτο διὰ τὴν ταχεῖαν αὐτοῦ ὁμαλὴν κίνησιν· ἐπὶ τοῦ ἐπικύκλου ΛΑ γὰρ κινεῖται.*

⟨λγ′⟩ Σχόλιον· Διὰ τὸ μὴ ὡρισμένας εἶναι τὰς μοίρας, ἐν αἷς τὸν στηριγμὸν οὗτος ποιεῖται. 33

10 *⟨λδ′⟩ Σχόλιον· Ἵνα τετράγωνος γένηται πρὸς αὐτόν, μετὰ γὰρ τὸν στηριγμὸν ἐν τῇ πβ′ μοίρᾳ γινόμενον μετὰ η̅ μοίρας γεγονὼς ϙ̅, τετράγωνος ἔσται πρὸς τὸν Ἥλιον.* 34

⟨λε′⟩ Σχόλιον· Ἐν γὰρ τοιούτῳ κανόνι ἡ μεγίστη προσθαφαίρεσις τούτων δήλη γίνεται ἐκ τῶν τῆς ἀνωμα- 35
15 *λίας κανονίων.*

⟨λϛ′⟩ Σχόλιον· Φάσεις λέγεται ταῦτα, ὅτι τῇ πρὸς τὸν Ἥλιον ἀποστάσει φαίνονται. 36

⟨λζ′⟩ ⟨Σχόλιον⟩· Πλὴν τοῦ παντὸς φωτὸς γινομένου. 37

⟨λη′⟩ Σχόλιον· Εὐθέως γὰρ ἄγει τὰ ἀποτελέσματα 38
20 *ἐπὶ τῆς τριμοιρίας εἴτε ἀγαθὸν εἴτε φαῦλον. εἰ δὲ γένεσίς ἐστιν, ἐν τῇ παιδικῇ ἡλικίᾳ. καὶ ἐὰν ἀγαθὸς ᾖ, ᾧ συνάπτει, ἀγαθά, ἐὰν δὲ φαῦλος, φαῦλα.*

1—3 γ (ϛ′ add. D): om. ZYβ || **4—7** βγ: om. ZY || **7** *ΛΑ* ad figuram nobis non traditam pertinere videtur || **8. 9** γ (ζ′ add. D): om. ZYβ || **10—12** βγ (η′ add. D): om. ZY || **13—15** γ (sin. num. D): om. ZYβ || **16. 17** γ (sin. num. D): om. ZYβ || **18** Z: om. Yβγ || **19—22** γ: (ι′ add. D): om. ZYβ || **20** post *φαῦλον* add. *ὡς ληροῦσιν* D | *εἰ* corr. ex Hel.: *ἢ* γ

39 *⟨λθ'⟩ Σχόλιον· Οἷον εἰ καὶ ὁ ἀστὴρ καὶ ἡ Σελήνη πρὸς Βορρᾶν ἢ Νότον ᾖ, εἰ δὲ ἡ μὲν πρὸς Νότον, ὁ δὲ πρὸς Βορρᾶν, καὶ τὸ σχῆμα συμβήσεται, ἐξαλλάσσεται καὶ τὰ ἀποτελέσματα, εἴτε κατὰ συμπαρουσίαν εἴτε κατὰ σχῆμα μὴ πρὸς τὸν αὐτὸν ἄνεμόν εἰσι, κατὰ κάθετον τοῦ ἀστέρος* 5 *συμπαρόντος αὐτῇ·*

40 *⟨μ'⟩ Σχόλιον· Ἐπὶ παντὸς γὰρ πράγματος καὶ ἐπὶ πάσης γενέσεως καὶ ἐπὶ καταρχῶν ἀδύνατόν φησί τι προειπεῖν χωρὶς ἀπορροίας καὶ συναφῆς σεληνιακῆς.*

41 *⟨μα'⟩ Σχόλιον· Εἰδήσεις, φησίν, ἐκ τούτου καὶ ὁποῖος* 10 *πνεύσεται ἄνεμος καὶ εἰ ταραχώδης ἢ εὔδιος. γνώσῃ δέ φησι ἀπὸ τῆς κατὰ τρίγωνον συναφῆς ἢ ἀπορροίας. οὐ* 𝔚 3 *μόνον γὰρ κατὰ σῶμα λέγεται συναφὴ καὶ ἀπόρροια ἀλλὰ* H 4 *καὶ κατὰ σχῆμα. ὅταν οὖν πρός τινα ἀστέρα κατὰ τὸ πρῶτον τρίγωνον, Κριοῦ, Λέοντος καὶ Τοξότου, συναφὴν* 15 *ἢ ἀπόρροιαν ποιῆται, Ἀπηλιώτης πνεύσει. πότερον δὲ ἀγαθὸς ἢ κακὸς ὁ ἄνεμος ἀπὸ τοῦ ἀστέρος, πρὸς ὃν φέρεται, διαγνωστέον. κατὰ δὲ τὸ δεύτερον, τὸ διὰ Ταύρον, Παρθένον καὶ Αἰγοκέρωτα, Νότος. κατὰ δὲ τὸ τρίτον, τὸ διὰ Διδύμους, Ζυγὸν καὶ Ὑδροχόον, Λίψ, κατὰ* 20 *δὲ τὸ τέταρτον διὰ Καρκίνον, Σκορπίον καὶ Ἰχθύας, Βορρᾶς. ἐν ἄλλῃ δέ φησι θεωρίᾳ τὰ περὶ ἀνέμων ἀκριβέστερον λελέξεται.*

42 *⟨μβ'⟩ Σχόλιον· Τουτέστιν ἑκάστη ἡμέρα τῆς ἑβδομάδος τίνος τῶν ἀστέρων ἐστίν.* 25

43 *⟨μγ'⟩ Σχόλιον· Τὸ τέταρτον λαμβάνεται ἢ καὶ ἰσάριθμοι αὐτοῦ ἡμέραι διὰ τὸ βίσεκτον.*

1—6 γ (*ιβ'* add. D; ad *ια'* cf. app. cr. v. 10): om. ZYβ || **5** *μὴ* om. 𝔉𝔐 | *ἀστ. συμπ.*: *ἀσυμπαρόντος* 𝔟 || **7—9** γ (*ιγ'* add. D): om. ZYβ || **10—23** γ (*ια'* add. D) (insertum est schol. post 36, 7, *ἀπόρρ.*): om. ZYβ || **24. 25** γ (sin. num. D): om. ZYβ || **26. 27** γ (sin. num. D): om. ZYβ

⟨μδ′⟩ Σχόλιον· Ὅτι Αἰγυπτιακὰ ἔτη λέγει, καὶ διὰ 44
τοῦτο κελεύει τὸ τέταρτον προστιθέναι. οἱ γὰρ Ἕλληνες
καὶ οἱ Ἀλεξανδρεῖς καὶ τὸ τέταρτον ἐπιλογίζονται κατὰ
ἑκάστην τετραετηρίδα. καὶ διὰ τοῦτο ἐπὶ τῶν Ἑλληνικῶν
5 ἐτῶν τὸ τέταρτον οὐ προστίθεται, διότι ἤδη προσετέθη.

⟨με′⟩ Σχόλιον· Τὰς ἀπὸ τοῦ ὑφειλμοῦ τῶν ἡμερῶν 45
καταλειφθήσας τοῦ δ′ καὶ τῶν τοῦ μηνὸς κ̄ ἡμέρας.
ἡ δὲ κη′ κατὰ Ἀλεξανδρεῖς, καθ' ἡμᾶς ἐστιν κϛ′
προστιθεμένων τῶν γ̄ καὶ τοῦ Ὀκτωβρίου καὶ τοῦ Δε-
10 κεμβρίου καὶ τοῦ Ἰανουαρίου.

J2 ⟨μϛ′⟩ Σχόλιον· Ἰστέον, ὅτι ἡμέρας πέμπτης τῆς ἑβδο- 46
μάδος ἡ ἀρχὴ τοῦ ἔτους Διοκλητιανοῦ γέγονεν, ὅπερ
μετὰ συμπλήρωσιν βισέκτου πάντως τὴν ἀρχὴν ἔσχηκε.
καὶ ἐπεὶ πέμπτην εἶχεν ἀρχήν, δεῖ δὲ τὰς ὑφαιρέσεις τῶν
15 ἡμερῶν, τὰς καθ' ἑβδομάδα, λαμβάνειν ἀπὸ πρώτης τῆς
ἑβδομάδος τὴν ἀρχήν, ἀνάγκη προστίθεσθαι δ̄ ἡμέρας,
§1 αἵτινες ἀπὸ τῆς πρώτης μέχρι τῆς πέμπτης ἀριθμούμεναι
τυγχάνουσι. καὶ ἐπεὶ καθ' ἑβδομάδα ἀνακυκλεῖται ὁ χρό-
νος, καθὸ καὶ ἑβδοματικοὺς τοὺς αἰῶνάς φαμεν καὶ γὰρ
20 ἑβδομάδες ν̄β̄ συμποσοῦσι τὸν ἐνιαυτὸν μιᾶς ἡμέρας
περιττευούσης, καὶ καθ' ἣν ἂν ἡμέραν ἄρξηται ὁ ἐνιαυ-
τὸς τῆς ἑβδομάδος, κατὰ τὴν αὐτὴν δὴ λαμβάνει καὶ τὴν
τελευτήν· ἀνάγκη τῶν ν̄β̄ ἑβδομάδων παρεωμένων ταύ-
την τὴν περιττὴν μίαν ἡμέραν παρακατέχειν, κἂν μὲν ὁ
25 ἐνιαυτὸς ἀπὸ τῆς πρώτης ἡμέρας ἤρξατο τῆς ἑβδομάδος,
ἡ περιττὴ αὕτη, καὶ αὐτὴ πρώτη τῆς ἑβδομάδος ἐστίν,
ὡς τῶν ν̄β̄ ἑβδομάδων, ἐὰν ἀπὸ κυριακῆς ἄρξηται ὁ

11 ss. cf. Interpretationes p. 138 s.

1–5 γ (sin. num. D): om. ZYβ ‖ **6–10** γ (*ιε′* add. D [n. *ιδ′* om.]) om. ZYβ ‖ **6** *ὑφειλμοῦ* γ: *ὑφελμοῦ* D: *ἠφειλμοῦ* Sch[3] ‖ **11 – p. 118, 9** γ (sin. num. D): om. ZYβ ‖ **21** post *ἐνιαυτός* add. *ἡμέραν δὲ* D ‖ **22** *λαμβάνῃ* D ‖ **26** *αὐτὴ* D: *αὕτη* γ

ἐνιαυτός, συμπληρουμένων κατὰ τὸ σάββατον. τὸ δὲ ἐφεξῆς ἔτος ἄρξεται δευτέρας. ἐὰν δὲ δευτέρα τὸ ἔτος ἄρξηται, δευτέρα καὶ ἡ περιττὴ ἔσται τῶν ἑβδομάδων κατὰ τὴν πρώτην συντελεσθεισῶν. καὶ ἐὰν τρίτη, τρίτη, καὶ καθεξῆς. γέγονεν οὖν ἀρξάμενον καὶ τὸ ἀπὸ Διοκλη- 5
τιανοῦ ἔτος ἀπὸ ἡμέρας τῆς ἑβδομάδος πέμπτης. καὶ ἐπεὶ ἀπὸ τῆς πρώτης μέχρι τῆς πέμπτης ἡμέραι τέτταρές εἰσι, δεῖ μετὰ τῆς περιττῆς τοῦ ἐνιαυτοῦ καὶ ταύτας προσεπιλαμβάνεσθαι, ἃς οὗτος καθολικὰς ἐξωνόμασεν, ἵνα ἡ ἀρχὴ τῆς ἑβδομάδος λαμβάνηται. δύο δὲ μόνας 10
οὗτος ἔλαβε καὶ οὐ τέτταρας, διότι μετὰ ταῦτα τοὺς μῆνας διορίζεται διπλοῦν, ὁπόσοι ἂν ὦσιν ἀπ' ἀρχῆς τοῦ ἔτους, τοὺς μετὰ τὸ συμπληρωθὲν τρέχοντας, καὶ οὐ μόνον τοὺς ἀπαρτισθέντας ἀλλὰ καὶ αὐτὸν τὸν μήπω ἀπαρτισθέντα μῆνα. καὶ ἐπεὶ οἱ μὲν ἄλλοι κατὰ λόγον 15
δέχονται τὴν δίπλωσιν οἱ συμπληρωθέντες καὶ ἑβδομάδας μὲν ἀπαρτίζοντες ὅλας τέτταρας, δύο περιττὰς ἡμέρας ἔχοντες, ἃς καὶ δεῖ συμπαραλαμβάνεσθαι τῇ ἀπὸ τοῦ J 3
ἔτους περιττευούσῃ ἡμέρᾳ, τὸν δὲ μήπω συμπληρωθέντα διπλοῦν οὐκ ἔδει, ἵνα τοῖς ὁμοταγέσι καὶ αὐτὸς συνδι- 20
πλῷτο, κατεμέρισε τὰς καθολικὰς τέτταρας, ἃς εἴπομεν ἀπ' ἀρχῆς τῆς ἑβδομάδος λαμβάνεσθαι καὶ τὰς μὲν δύο καθολικὰς ὠνόμασε, τὰς δὲ λοιπὰς δύο τῷ ἀτελεῖ μηνὶ ἐτήρησεν, ἵνα καὶ αὐτὸς τῷ λόγῳ τῶν ἄλλων τῶν συμπληρωμένων δέχηται τὴν δίπλωσιν, καίτοι μὴ τούτου 25
τῶν ἡμερῶν οὐσῶν ἀλλὰ καθολικῶν διὰ τὸ ἔτος τὸ πρῶτον ἀπὸ πέμπτης ἄρξασθαι καὶ οὐκ ἀπὸ τρίτης. εἰ γὰρ ἀπὸ τρίτης δύο ἂν καθολικὰς ἐλάμβανε, καὶ ὁ τοιοῦτος μὴν οὐκ ἂν ἐνδέχετο δίπλωσιν. καὶ ὅτι ταῦθ' οὕ- § 2
τως ἔχει, δηλώσει καὶ ἡ εὕρεσις τῆς νῦν ἡμέρας κατὰ 30
τὴν τοιαύτην μέθοδον συμπερανθεῖσα· τοῦ γὰρ ͵ς χνθ'

1 *συνδιπλῷτο* cf. Jannaris, Hist. Greek Grammar § 852 || 4 *συντελεσθεισῶν* scr.: *συντελεσθησῶν* γ || 9 *ἃς — ἐξων.* hic om. D || 10 *τῆς ἑβδ.* om. D | *λαμβάνηται* γ: *λαμβάνεται* Sch | post *λαμβ.* add. *ἃς — ἐξων.* D || 16 *ἑβδομάδας* γ: *ἑβδομάδος* Sch (i. mg.) || 28 *τρίτης* om. D | *ἐλαμβ.* om. D | *καὶ οὐκ* D

*ἔτους, ὄντος ἀπὸ Διοκλητιανοῦ ωξζ', τὸ τέταρτον αὐτῶν
εὑρίσκεται σις', καὶ γίνονται αἱ πᾶσαι ἡμέραι μετὰ τῶν
ωξζ προστεθεισῶν καὶ τῶν δύο καθολικῶν ͵α πε, ταύτας
ὑφαιρῶ ἐπὶ τὸν ζ'. λοιπαὶ ἡμέραι τῶν ἀστέρων ζ.
5 καὶ ἐπεὶ ὁ κατὰ τὸ εἰρημένον ἔτος μὴν Νοέμβριός ἐστι
καὶ ἡμέρα αὐτοῦ ις' καὶ τρεῖς μῆνες σὺν τούτῳ εἰσὶν
ἀπὸ Σεπτεμβρίου καὶ διπλωθέντες οὗτοι ποιοῦσιν ἡμέρας
ς, ληφθείσης δὲ καὶ τῆς τοῦ Ὀκτωβρίου ἐπέκεινα τῶν
λ μιᾶς, διότι λα ἡμέρας ὁ τοιοῦτος ἔχει μήν, καί εἰσι
10 καὶ αἱ παρ' ἡμῖν ις τοῦ μηνὸς παρὰ Ἀλεξανδρεῦσι ιθ,
συνάγονται αἱ πᾶσαι λγ, ἃς καὶ ὑφελὼν ἐπὶ τὸν ζ, ἔχω
λοιπὰς ἡμέρας ε. καὶ ἔστιν ἡμέρα σήμερον τῆς ἑβδομά-
δος πέμπτη. δύο οὖν ἐνταῦθα καθολικὰς ἐλάβομεν καὶ
οὐχὶ τέτταρας, διότι τὸν Νοέμβριον κατὰ τὸ περισσὸν
15 ἐδιπλώσαμεν. ἀπὸ κυριακῆς γάρ, ὅθεν ἡ ἀπαρίθμησις
τῶν ἡμερῶν γίνεται, μέχρι πέμπτης ἡμέραι τέτταρες,
τῶν γὰρ καθολικῶν εἰσι καὶ αἱ κατ' αὐτὸν δύο. καὶ εἰ
τὸ πρῶτον δὲ τὸ ἀπὸ Διοκλητιανοῦ δοκιμάσεις ἔτος, ὡς
ἐπὶ τὸ ἐφεξῆς, εὑρήσεις τὴν μέθοδον ἀληθεύουσαν. τοῦ
20 γὰρ πρώτου ἔτους τὴν μίαν ἡμέραν εἰ λάβῃς, τὴν ἀπὸ
τῶν νβ ἑβδομάδων περιττεύουσαν, εἰ μὲν ἦν πρώτη τῆς
ἑβδομάδος ἡ ἀρχὴ τοῦ παρελθόντος πρώτου ἔτους, καὶ
αὐτὴ πρώτη ἂν ἦν. εἰ δὲ ⟨αὐτὴ πρώτη τελευτὴ ἂν ἦν,
ἡ δὲ⟩ τοῦ ἐφεξῆς, δευτέρα ἔμελλεν εἶναι. ἀλλὰ κατὰ τὴν
25 παροῦσαν μέθοδον εἰ προσεθήκαμεν τὴν δίπλωσιν τοῦ
J4 πρώτου μηνὸς καίτοι μήπω συμπληρωθέντος καὶ τὴν
ποσταίαν αὐτοῦ μίαν οὖσαν. τετάρτη ἂν τῆς ἑβδομάδος
ἡ τοῦ ἐφεξῆς καταρχὴ ἐγένετο, ὅπερ οὐκ ἔστιν ἀληθές.
εἰ γὰρ τὸ πρῶτον εἰς κυριακὴν συντελεῖται, ἀπὸ ταύτης
30 ἀρξάμενον τὸ λοιπὸν δευτέρας ἄρχεται, ὥστε μάτην αἱ*

3 *͵αωπε* γ, sed re vera *͵απε* sunt cf. Interpretat. p. 138 s. || **4** *τὸν ζ'* γ: *τῶν ζ* d: *τὸ νζ* Sch || **5.6** *No. — καὶ* om. D || **7** *Σεπτεμβ.* corr.: *Σεπτεβρίου* γ || **11** *ἔχω* γ: *ἔχει* D || **18** *δὲ* γ: *λα'* Sch || **20** *εἰ λάβῃς* γ: *ἐλάβεις* Sch[1]: *ἔλαβες* Sch[2] || **21** *ἦν* γ: *οὖν* Sch || **22.23** *καὶ — εἰ δὲ* γ: add. legi *αὐτὴ πρώτη τελευτὴ ἂν ἦν, ἡ δὲ* Sch (i. mg.) || **27** *ποσταίαν* γ: *ποστιαίαν* D

τοῦ εἰρημένου μηνὸς διπλαῖ ἐλήφθησαν, ὅτι οὐκ εἰσι τοῦ μηνὸς αἱ δύο αὗται οὐδὲ λογίζονται, ἀλλὰ τῆς ἀρχῆς τοῦ ἔτους τῶν καὶ καθολικῶν, ὧν τὰς δύο μόνας οὗτος ἔλαβε, τὰς δὲ δύο παρέπεμψεν εἰς τὴν τῶν μηνῶν ἐπιδίπλωσιν τῶν ἀτελῶν. λαμβάνονται δὲ αἱ καθολικαὶ τέτταρες, διὰ 5 *τὸ τῶν ἀφέσεων εὐχερές, ἵνα ἀπὸ τῆς πρώτης τῆς ἑβδομάδος αἱ ἡμέραι ἐξάγονται, ὥσπερ καὶ ἀπὸ τῶν ἀπογείων τῶν ἀστέρων καὶ τοῦ Ἡλίου ποιεῖν ἡμᾶς ὁ Πτολεμαῖος ἐδίδαξεν.*

47 *⟨μζ'⟩ Σχόλιον· Διὰ τοῦτο δὲ ἐπὶ τὸν ιγ' ὁ πολλαπλασιασμός, ἐπεί τοι εἰκότως τὸ δωδεκατημόριον β̄ L' ἐστιν,* K3 11 *καὶ ὁ πολλαπλασιασμὸς αὐτοῦ ἐπὶ τὸν ιβ' ἂν γένοιτο δωδεκάκις τὰ β̄ L' λ̄. διότι εἰ ἐπὶ τὸν λ' πολλαπλασιασθῶσιν αἱ ιβ̄ καὶ διαδοθῶσι τοῖς ιβ̄ ζῳδίοις ἀνὰ λ̄, οὐκ ἀφίξονται αἱ γενόμεναι τξ̄ εἰς τὸ αὐτὸ ζῴδιον, ἀλλ' εἰς τὸ* 15 *πρὸ αὐτοῦ καταντήσουσι, οἷον, εἰ αἱ τοῦ Κριοῦ λ̄ πολλαπλασιασθῶσιν ἐπὶ τὸν ιβ' καὶ ποιήσουσι τξ̄ καὶ δοθῶσιν ἑκάστῳ ζῳδίῳ λ̄, καταλήξει ὁ ἀριθμὸς εἰς τὸ τέλος τῶν Ἰχθύων, καὶ τοῦ Κριοῦ οὐκ ἐφάψεται. τότε δὲ γίνεται ἐναργέστερον δωδεκατημόριον, ὅταν ἀπὸ τοῦ* 20 *αὐτοῦ εἰς τὸ αὐτὸ καταλήξῃ. καὶ ἵνα τοῦτο γίνηται, ἐπὶ τὸν ιγ' γίνεται ὁ πολλαπλασιασμός. τρισκαιδεκάκις δὲ λ̄ τϙ̄, καὶ πίπτουσι πάλιν εἰς τὸν Κριόν.*

48 *⟨μη'⟩ Σχόλιον· Οὕτως ὁ Τρισμέγιστος Ἑρμῆς ὀνομάζει τὴν ἰδίαν συγγραφήν, ἐν ᾗ περὶ τῶν κλήρων εἶπεν, ὡς* 25 *τάχα περὶ ἀναγκαίων καὶ εὐχρήστων διεξιοῦσαν. γέγραπται γὰρ τῷ Ἑρμῇ περὶ τῶν τοιούτων κλήρων ἐν βίβλῳ λεγομένῃ Παναρέτῳ. ἔνθα καὶ τὰ τούτων ἀποτελέσματα παραδίδωσι, λέγει οὖν ἑπτὰ κλήρους πρὸς τὸν ἀριθμὸν τῶν ἑπτὰ ἀστέρων, τὸν μὲν κλῆρον τοῦ Ἡλίου Ἀγαθὸν* 30 *ὀνομάζων Δαίμονα, τὸν δὲ τῆς Σελήνης Ἀγαθὴν Τύχην,*

1 *ἐλήφθησαν* scr.: *ἐλήφθεισαν* γ ‖ **10—23** γ (*ις'* add. D): om. ZYβ ‖ **24**—p. 119, 7 γ (*ιζ'* add. D): om. ZYβ

τὸν δὲ τοῦ Διὸς Νίκην, τὸν τοῦ Ἑρμοῦ Ἀνάγκην, τὸν τῆς Ἀφροδίτης Ἔρωτα, τὸν τοῦ Ἄρεως Τόλμην, καὶ τὸν τοῦ Κρόνου Νέμεσιν.

Ἰστέον δέ, ὅτι καὶ ἄλλοι κλῆροι ὑπάρχουσιν ἔξωθεν 5 *τῆς Παναρέτου, πατρὸς καὶ μητρὸς καὶ ἀδελφῶν καὶ τέκνων καὶ γάμων καὶ ἄλλων πολλῶν, ὁ μέντοι Παῦλος οὐ πάντας ἐκτίθεται.*

49 *⟨μθ′⟩ Σχόλιον· Ὡς γὰρ τὰς ἀπὸ Ἡλίου μέχρι Σελήνην λαμβάνομεν ἐπὶ τὰ ἑπόμενα, οὕτως καὶ τὰ ἀπὸ ὡρο-* 10 *σκόπου, ἕως οὗ συντελεσθῶσιν αἱ ἀπὸ τοῦ Ἡλίου μοῖραι ἐπὶ τὴν Σελήνην. αὐτὰς γὰρ ἀπὸ τοῦ ὡροσκόπου ἐκβάλλω, τὰς δὲ τοῦ ὡροσκόπου ια̅ προστίθεμεν ταῖς τλ̅, οὐχι ὡς καὶ αὐτὰς τοῦ κλήρου τῆς Τύχης οὔσας, ἀλλ' ἵνα προχειροτέρα γένηται ἡ ἄφεσις ἀπ' ἀρχῆς τοῦ ζῳδίου τοῦ* 15 *Λέοντος.*

50 *⟨ν′⟩ Σχόλιον· Ὕπαυγός ἐστιν ἀστήρ, ὅταν ἐντὸς ιε̅ μοιρῶν ᾖ πρὸς τῷ Ἡλίῳ· εἰ δὲ τὴν ιε′ παρέλθῃ, οὐκέτι λέγεται ὕπαυγος.*

51 *⟨να′⟩ Σχόλιον· Εὑρεθεὶς ἐν αὐτῷ μὴ ὢν ὕπαυγος,* 20 *τότε γὰρ τὰ μέγιστα ἀγαθὰ τῇ γενέσει πορίζει, ὡσαύτως δὲ κἂν μὴ αὐτὸς ᾖ, ἕτερος δέ τις τῶν ἀγαθοποιῶν. εἰ μέντοι ἢ κακῶς σχηματίζεται ὁ Ἑρμῆς ἐκεῖσε ὢν ὑπὸ Κρόνου ἢ ὑπὸ Ἄρεως βαλλόμενος κατὰ σχῆμα, ἢ εἷς τούτων ἐκεῖσε εὑρεθῇ καὶ τὸν Ἥλιον ἢ τὴν Σελήνην* 25 *σχηματίσει, τἀναντία συμβήσεται.*

4—7 ex Heliodoro || 7 post *ἐκτ.* add.: *οἷον ξενιτείας, πραγματείας καὶ τῶν τοιούτων* D (ex Hel.) || 8—15 γ (*ιη′* add. D): om. ZYβγ || 16—18 βγ (*ιθ′* add. D): om. ZY || 17 *ᾖ* β: *ἐστι* γ | post *ᾖ* add. *ὁ ἀστὴρ* β || 19—25 γ (*κ′* add. D, ut videtur, sed scholii initium humiditate pessumdatum est): om. ZYβ

52 *⟨νβ'⟩ Σχόλιον· Καὶ γὰρ ἀπὸ τοῦ μεσουρανήματος μέχρι τοῦ δευτέρου τόπου πέντε ζῴδιά εἰσιν, ἐν οἷς τὸ τρίγωνον θεωρεῖται, ὥστε τὸ μεσουρανοῦν πρὸς τὸν δεύ-* L4 *τερον τόπον τρίγωνον σχῆμά ἐστιν. ἔστι δὲ τὸ μεσουρανοῦν εἰς τὰ ἡγούμενα, τὸ δὲ δεύτερον εἰς τὰ ἑπόμενα.* 5 *διὸ καὶ εὐώνυμον λέγεται.*

53 *⟨νγ'⟩ Σχόλιον· Ἀπόκλιμα τοῦ ὑπὲρ γῆν μεσουρανήματος ἐν τῷ ἀπ' ἀνατολῆς εἰς δύσιν ἀπιέναι· οὕτω γὰρ λαμβάνονται τὰ ἀποκλίματα· ὑπὸ γῆν δέ, ἐν τῷ ἀπὸ δύσεως εἰς ἀνατολήν.* 10

54 *⟨νδ'⟩ Σχόλιον· Πλὴν οὐκ εἰς τέλος, ἐπειδὴ ὅλως ἐν οἰκείῳ τόπῳ ἡ Σελήνη ἐστίν. ὑπόθου γὰρ καὶ τὴν Σελήνην εἶναι ἐν τούτῳ· εἰ δὲ εὑρεθῇ τις ἐκεῖ τῶν κακοποιῶν, πάντα κάκιστα τὰ προειρημένα ἀπαντᾷ, εἰ μέντοι μηδεὶς εἴη τῶν ἀστέρων ἐκεῖσε, σκοπεῖν δεῖ, ὑπὸ ποίων* 15 *βάλλεται κατὰ σχῆμα τὸ ζῴδιον, καὶ οὕτως ἀποφαίνεσθαι μέσα τὰ ἀγαθὰ καὶ μέσα τὰ κακά. τοῦτο δὲ καὶ ἐπὶ πάντων τῶν τόπων, ὅταν μὴ παρῇ ἀστήρ.*

55 *⟨νε'⟩ Σχόλιον· Διὰ τὴν ἔγκλισιν τῆς σφαίρας πάντοτε τὸ ὑπόγειον βορειότερον πίπτει.* 20

56 *⟨νϛ'⟩ Σχόλιον· Ποιεῖ δὲ τὰ ἀποτελέσματα ἐν γεροντικῇ φησιν ἡλικίᾳ, ἐὰν ἐν γενέσει ληφθῇ τὸ θεμάτιον. ἐπὶ δὲ πράγματος βραδέως πάνυ γενέσθαι δηλοῖ. ἐὰν οὖν ἀγαθοποιοί φησιν παρῶσι τῷ ὑπὸ γῆν κέντρῳ, ἀγαθὰ τὰ προειρημένα, καὶ πρὸς τούτοις γηράσει καὶ* 25

1—6 γ (*κα'* add. D): om. YM ‖ **7—10** γ: om. YMD ‖ **11—18** γ (*κβ'* add. D): om. YM ‖ **19. 20** Mγ: om. YD ‖ **21** – p. 121, 8 Mγ (*κγ'* add. D): om. Y ‖ **24** *οἱ ἀγ.* M | *τῷ . . . κέντρῳ* γ: *κατὰ τὸ . . . κέντρον* M

ταφήσεται ὑπὸ τῶν οἰκείων καὶ κληρονομηθήσεται. ὡσαύτως κἂν ὑπὸ ἀγαθοποιῶν μαρτυρῆται μάλιστα κατὰ αἵρεσιν. εἰ μέντοι τις τῶν κακοποιῶν εὑρεθῇ οὐ πάντως κακὰ γενήσεται. χαίρει γὰρ ἐν τούτῳ ὁ Κρόνος, μάλιστα 5 *ἐὰν κατὰ αἵρεσιν ὢν τύχῃ ἐν τῇ γενέσει. τὰ δὲ μέγιστα ἀπὸ μέσης ἡλικίας παρέχει, πλοῦτον καὶ εὑρέματα. εἰ δὲ παρ' αἵρεσιν εὑρεθῇ, φαῦλον, ἐκεῖσε γὰρ εὑρεθεὶς μείωσιν ποιεῖ τῆς πατρικῆς οὐσίας.*

57 ⟨νζ'⟩ *Σχόλιον· Μάλιστα ὁ τῆς Ἀφροδίτης ἀστήρ, εἰ* 10 *δὲ κακοποιὸς εὑρεθῇ τις, οὐ τοσοῦτόν ἐστι κακοποιὸς διὰ τὴν τῶν τόπων ἀγαθότητα, ἀναιρετικὸς δὲ τῶν τέκνων γίνεται.*

58 ⟨νη'⟩ *Σχόλιον· Ἂν γὰρ τότε τις ἐν τῷ μεσουρανήματι ᾖ ἀγαθοποιὸς βάλλων εἰς τοῦτον τὸν τόπον κατὰ τρί-* 15 *γωνον τὰς ἀκτῖνας, πρακτικὸς γίνεται.*

59 ⟨νθ'⟩ *Σχόλιον· Εἰ δὲ βάλλεται κατὰ τρίγωνον σχῆμα ὑπὸ ἀγαθοποιῶν, σημαίνει αὐτὴν ὑπὸ ἀνδρὸς πλουσίου συγκεκροτῆσθαι καὶ μὴ ἠλευθερῶσθαι.*

60 ⟨ξ'⟩ *Σχόλιον· Εἰ δὲ καὶ μὴ σχηματίζεται ὑπὸ ἀγα-* 20 *θοποιῶν, οὐδὲ οὕτω μεγάλα κακὰ ἐπαύξει, ἐὰν μὴ ᾖ παρ' αἵρεσιν. ὡσαύτως δὲ οὐδὲ ὁ Κρόνος ἐκεῖσε κατὰ αἵρεσιν εὑρεθεῖς, ἐπεὶ χαίρουσιν οἱ κακοὶ ἐν τοῖς κακοῖς. εἰ μέντοι παρ' αἵρεσιν εὑρεθεῖεν ἐκεῖσε οἱ κακοποιοί, τὰ ἴδιά φησι κακὰ τοῦ τόπου ἀποτελοῦσιν, οἷον σίνη καὶ* 25 *ἐπαναστάσεις ἐκ θηλυκῶν προσώπων·*

2 *ἀγ.* **D:** *ἀγαθῶν* **Mγ || 3** *εἰ* **D:** *ἂν* **Mγ || 7** *ἐκεῖ* **M || 9—12 M (***β'* **add.) γ (***κδ'* **add. D): om. Y || 10** *οὐ* **Mγ:** *καὶ* **Sch || 13—15 γ (***κε'* **add. D): om. YM || 13** *ἐν* **om. D || 14** *ἀγαθ.* **om. D |** *β. τριγωνικῶς* **D |** *κατὰ τρ.* **hic om. D || 15** *γίν.***:** *ἐστιν* **D | post** *γίνεται* **add.:** *κἂν τε ἐν αὐτῷ τῷ μεσουρανήματι ᾖ βάλλων τριγωνικῶς εἰς τοῦτον τὸν τόπον τὰς ἀκτῖνας, πρακτικός ἐστιν* **γ (sed om. D) || 16—18 γ (***κϛ'* **add. D): om. YM || 19—25 γ (***κζ'* **add. D): om. YM || 20** *οὐδὲ οὕτω* **γ:** *οὐ δεόντων* **Sch[1]:** *οὐδὲ ἐν τούτῳ* **Sch[2]**

61 ⟨ξα′⟩ *Σχόλιον· Καὶ τέλη ζωῆς καὶ περὶ ἐκθέσεως καὶ* 𝔔2
κυήσεως καὶ ἕτερα πλείονα πρὸς τὸν ἐπικρατοῦντα τοῦ
τόπου ἀστέρα. ποιεῖ δὲ τὰ ἀγαθὰ περὶ τὴν παρακμαστι-
κὴν ἡλικίαν.

62 ⟨ξβ′⟩ *Σχόλιον· Καὶ μάλιστα, εἰ ἐκτὸς ὑπάρχει τῆς* 5
τῶν ἀγαθῶν ἀστέρων συνεπιμαρτυρήσεως, οἷον ὅταν ὁ
Ἄρης σχηματίσῃ τὸν Ἥλιον ἢ τὴν Σελήνην, ἢ τὴν τῆς
Σελήνης συναφὴν ὑποδέξηται, τηνικαῦτα πάθεσι πολυ-
τρόποις βάλλει. εἰ δὲ καὶ χωρὶς τῆς τῶν ἀγαθῶν ἀκτινο-
βολίας, τηνικαῦτα καὶ ὀλιγοχρονίους καὶ βιαιοθανάτους 10
ποιεῖ. λοιπὸν τὸ ποιὸν τοῦ θανάτου ἐκ τῶν ζῳδίων γνώ-
σεις, εἰ μὲν γὰρ ἐν ὑγροῖς, οἷον Ὑδροχόῳ ἢ Ἰχθύσιν,
ὕδατι πνιγήσεται, εἰ δὲ θερμῷ, οἷον Λέοντι, διὰ πυρός, εἰ
δὲ ἐνόπλοις ζῳδίοις, οἷον Τοξότῃ ἢ Σκορπίῳ, διὰ ξίφους,
εἰ δὲ θηριώδεσιν, οἷον Αἰγοκέρωτι, Λέοντι, Ταύρῳ ὑπὸ 15
θηρίων. οὐ μόνον δὲ ταῦτα ποιεῖ, ἀλλὰ καὶ πενιχροὺς
καὶ ἀστάτους καὶ ξενιτεύοντας ἀποδείκνυσιν.

63 ⟨ξγ′⟩ *Σχόλιον· Ἀεὶ γὰρ ὁ Ἄρης μετὰ τοῦ Ἡλίου ἢ*
τῆς Σελήνης εὑρισκόμενος κακὰ ποιεῖ μεγάλα.

64 ⟨ξδ′⟩ *Σχόλιον· Ἤγουν ἄρχεται ἤδη φαίνεσθαι νέα.* 20

65 ⟨ξε′⟩ *Σχόλιον· Εἰ δὲ ἐπὶ νυκτερινῆς γενέσεως ἐκεῖσε*
εὑρεθῇ ὁ Ἥλιος ἅμα τῷ τοῦ Ἑρμοῦ, τουτέστιν ἵνα ὁ
μὲν Ἑρμῆς ᾖ πρὸς τῇ ἀρχῇ τοῦ ἐννάτου τόπου, ὁ δὲ
Ἥλιος ἐν τῷ τέλει τοῦ ἑβδόμου, ἵνα ᾖ ὑπὸ δύσιν, ἄλλως
γὰρ οὐκ ἐγχωρεῖ ταῦτα εἶναι ἐπὶ νυκτερινῆς γενέσεως· 25
ἀβεβαίους τοῖς ὀνείρασι καὶ καταψευδομένους θεοῦ, μη-
δὲν βέβαιον χρηματίζοντας.

1—4 γ: om. YMD ‖ **5—17** γ (*κη′* add. D): om. YM ‖ **11** *τοῦ* D: om. γ ‖ **18. 19** γ: om. YMD ‖ **20** 𝔔: om. YM*γ* ‖ **21—27** γ (*κθ′* add. D): om. YM ‖ **25** *ἐγχ.* γ: *ἐγχηρεῖ* Sch ‖ **26** s cf. p. 64 app. cr. ad v. 7

⟨ξϛʹ⟩ Σχόλιον· Διὰ τὴν ἔγκλισιν τῆς σφαίρας πάντοτε 66
τὸ ὑπὲρ γῆν μεσουράνημα πρὸς Νότον γίνεται· διὸ καὶ
μεσημβρία λέγεται τὸ νότιον διὰ τὸ πρὸς αὐτῷ τὰ μεσ-
ουρανήματα γίνεσθαι καὶ ὁ διὰ τῶν πόλων κύκλος διὰ
5 τοῦτο μεσημβρινὸς λέγεται. τοῦ δὲ ὑπὲρ γῆν μεσουρανή-
ματος νοτιωτέρου γινομένου ἀνάγκη τὸ ὑπὸ γῆν κέντρον
βορειότερον γίνεσθαι· διὸ καὶ βόρειον κέντρον ἐν τῷ
τετάρτῳ τοῦτο ὠνόμασεν.

𝔐 2 ⟨ξζʹ⟩ Σχόλιον· Ἔχων φάσιν ἑσπερίαν. φθάνει γὰρ καὶ 67
10 οὗτος εἰς μεσουράνημα $\overline{\mu\eta}$ μοίρας τὴν μεγίστην ἀπό-
στασιν ἀπὸ τοῦ Ἡλίου ἀφιστάμενος, ἔν τισι γὰρ χρόνοις
περὶ τὸ νότιον τὸ μεσουράνημα οὐκ ἀπέχει τοῦ ὁρίζοντος
$\overline{ϟ}$ μοίρας.

⟨ξηʹ⟩ Σχόλιον· Ἐὰν γὰρ ἐν τῷ δωδεκάτῳ τόπῳ ἐστὶ 68
15 ζῴδιον, κύριον ἔχον τινὰ ἀστέρα, οἷον ὁ Αἰγοκέρως ἢ ὁ
Ὑδροχόος τὸν Κρόνον, ᾗ δὲ ὁ Κρόνος ἐπί τινος τῶν $\overline{δ}$
κέντρων, ταῦτα ποιεῖ ἡ Ἀφροδίτη εὑρεθεῖσα ἐν αὐτῷ.

⟨ξθʹ⟩ Σχόλιον· Πρὸς τὴν τῶν λοιπῶν ἀστέρων σχη- 69
ματογραφίαν τοῦτο δὲ χρὴ προσυπακούειν ἐπὶ παντὸς
20 ἀστέρος.

⟨οʹ⟩ Σχόλιον· Οἱ πάντες γὰρ οὗτοι τόποι εἰς τὰ τέκνα 70
ἐρρήθησαν συμβάλλεσθαι.

⟨οαʹ⟩ ⟨Σχόλιον⟩· Ὄπισθεν ἔμελλον γράψαι· ὅτι ἀγα- 71
θοὶ πρὸς τέκνων δόσιν ♃ ♀ ☿ ☾ καὶ τριγωνοκράτωρ τοῦ ♃
25 καὶ ⟨τὸ⟩ τῶν τέκνων κέντρον, κακοὶ δὲ ♄ ♂ ♂ ☊ ☋. σύν-

1—8 γ (λʹ add. D): om. YM ‖ 3 πρὸς D: πρὸ γ ‖ 4 κύκλος γ: κύριος D ‖ 9—13 γ: om. YMD ‖ 14—17 γ (λαʹ add. D): om. YM ‖ 18—20 γ (λβʹ add. D): om. YM ‖ 21. 22 𝔏 Sch (post inscript.): om. ZYMγ ‖ 23—p. 124, 7 Y post p. 76, 8 insertum: om. ZMγ ‖ 25 κακοὶ corr.: κακοὺς Y

οψις τοῦ περὶ τέκνων· θεωρητέον τοὺς δὲ τόπους ε', ια', ιβ' καὶ εἰ ⟨ἐκεῖ⟩ μέν τινες τῶν εἰρημένων ἀστέρων ♃ ♀ ☿ καὶ ὁ τριγωνοκράτωρ τοῦ ♃ καὶ ὁ τῶν τέκνων κλῆρος. ὡς δὲ λέγει Ἡλιόδωρος· ὅτε καὶ ἡ Σελήνη εὑρεθῇ ἐν τόποις τοῖς εἰρημένοις ἢ συσχηματίζη- 5 ται αὐτοῖς, τέκνα διδόασι καὶ μάλιστα ἐν πολυσπέρμοις. ἐὰν δὲ ☉ ἢ ♄ ἢ ♂ τοὺς τόπους κατέχουσι, ἀτεκνία ἔσται.

72 *⟨οβ'⟩ Σχόλιον· Ὅταν τύχῃ τὸν Δία ἔν τινι τῶν τριγώνων εἶναι τῶν διὰ Κριοῦ, Λέοντος, Τοξότου, τοῦτο γὰρ ἡμέρας μὲν Ἡλίου, νυκτὸς δὲ Διός· τοῦ διὰ Ταύρου* 10 *Παρθένου, Αἰγοκέρωτος ἡμέρας μὲν Ἀφροδίτης ὄντος,* P1 *νυκτὸς δὲ Σελήνης· τοῦ διὰ Διδύμων, Ζυγοῦ, Ὑδροχόου ἡμέρας μὲν Κρόνου, νυκτὸς δὲ Ἑρμοῦ· τοῦ διὰ Καρκίνου, Σκορπίου, Ἰχθύων ἡμέρας μὲν Ἀφροδίτης, νυκτὸς δὲ Ἄρεως· καὶ εἰ μὲν ἡμερινὴ ἡ γένεσίς ἐστι, τριγωνικὸς* 15 *δεσπότης αὐτοῦ λέγεται ὁ ἡμερινὸς τοῦ τριγώνου κύριος, εἰ δὲ νυκτερινή, ὁ νυκτερινός. παρακελεύεται οὖν σκοπεῖν, ὁποῖα τὰ τοῦ μεσουρανοῦντος καὶ τοῦ ὑπογείου ζῳδίου καὶ τὰ ἐπαναφερόμενα αὐτοῖς, ταὐτὸν δὲ εἰπεῖν, τὸ τοῦ Ἀγαθοῦ Δαίμονος καὶ τὸ τῆς Ἀγαθῆς Τύχης,* 20 *πότερον πολύσπερμα ἢ σπανιόσπερμα, εἶτα σκοπεῖν, ὁποῖος τῶν ἀστέρων ἐν τούτοις, καὶ ποῖοι σχηματίζουσιν* 𝔑2 *αὐτούς. εἰ μὲν γὰρ ἀγαθοποιοί, Ζεὺς δηλονότι, Ἀφροδίτη, Σελήνη, καὶ ὁ τοῦ Διὸς τριγωνικὸς δεσπότης, πολυτεκνίαν δηλοῦσιν, εἰ καὶ ὁ τῶν τέκνων κλῆρος ἐν τούτοις,* 25 *εἰ δὲ χωρὶς τῆς τῶν ἄλλων ἐπιμαρτυρήσεως, οὐ μόνον τοῦτο ἀλλὰ καὶ εὐτεκνίαν.*

73 *⟨ογ'⟩ ⟨Σχόλιον⟩·* (hic post v. 27 add.): *Καὶ περὶ τῶν ὀλιγοσπέρμων καὶ πολυσπέρμων καὶ ἀσπέρμων ζῳδίων ἀπὸ τῆς Σ έ χ ε λ βίβλου τῶν στειρώδων ζῳδίων ♍ ♐ ♌* 30 *♒ καὶ ♉, ὀλιγοσπέρμων ♈ ♊ ♎ καὶ πολυσπέρμων ζῳδίων ♋ ♏ καὶ ♓. καὶ εἰς τοῦ Π α ύ λ ο υ εἰσαγωγήν. ἀλλὰ δὲ καὶ τοῦ Τιμαίου· οὗτος . . καὶ* (deinde desunt folia)

2 *ἐκεῖ* add. || 8—27 γ (λγ' add. D): om. ZYM || 28—33 𝔟: om. ZYMγ

⟨οδ′⟩ Σχόλιον· Πρὸς δὲ τούτοις πᾶσι δεῖ σκοπεῖν τὸν 74
κλῆρον τῶν τέκνων καὶ τὸν ὡροσκόπον ἐν ποίοις ζῳδίοις
εἰσίν, ἐν πολυσπέρμοις ἢ ἀσπέρμοις ἢ ὀλιγοσπέρμοις καὶ
μετὰ ποίων ἀστέρων, καὶ εἰ ἐν τοῖς εἰρημένοις τέσσαρσι
5 *τόποις μᾶλλον ἐπικρατοῦσιν οἱ τέτταρες ἀγαθοὶ Ζεύς,*
Ἀφροδίτη, Ἑρμῆς, Σελήνη, ἧττον δὲ οἱ λοιποί, καὶ εἰ ἐν
τῷ πέμπτῳ ἀγαθοποιὸς ᾖ ἢ σχηματίζεται [sic] *πρὸς*
αὐτόν, οὗτος γὰρ τέκνων δηλωτικός ἐστιν, ὅθεν καὶ σπό-
ριμος λέγεται.

10 *⟨οε′⟩ Σχόλιον· Περὶ ποίας πράξεις καὶ τέχνας ἔσται* 75
τὸ γεννώμενον· διὸ καὶ σκοπεῖν δεῖ, τίς τῶν τριῶν ἀστέ-
ρων ἐν τοῖς θ̄ τόποις ἐστί, καὶ μᾶλλον ἐν τῷ ι′ καὶ τῷ β′.
ὁ γὰρ ι′ τοῦ β′ κυριώτερος. καὶ ἐπὰν εὕρῃς τῶν ἀστέρων
τούτων ἕνα ἔχοντα τοὺς κυριωτέρους τόπους ἢ καὶ τοὺς
15 *ἄλλους, κατὰ τὴν ἐκείνου ποιότητα καὶ ἐνέργειαν λέγε*
τὰς πράξεις καὶ τὰς τέχνας.

ℜ3 *⟨ος′/α′⟩ Σχόλιον· Ἡ Ἀφροδίτη τὰς μουσικάς, οἷον* 76
κιθαριστικήν, ὀρχηστικήν, ἀλλὰ καὶ ζωγραφικὴν καὶ ἐλε-
φαντουργικὴν καὶ ποικιλτικήν, καὶ ὅσα ταῖς γυναιξὶν
20 *ἀνήκει, καὶ εἰ μὲν τοὺς κυριωτέρους ἐπέχει τόπους, τὸ*
μεσουρανοῦν καὶ τὸ δεύτερον, τὰς κυριωτάτας καὶ τιμιω-
τάτας μετελεύσεται, εἰ δὲ τοὺς ἄλλους, τὰς εὐτελεστάτας
τούτων καθ᾽ ὑπόβασιν.

Εἰ δὲ Ἑρμῆς εὑρεθῇ πρὸς τοῖς τόποις, τὰς ἀμείνους
25 *μεταχειρήσεις σοφιστάς, γραμματιστὰς ἀποδείκνυσι. ση-*

18 *ζωγραφ.* cf. Cumont, Égypte p. 89 adn. 4. | *ἐλεφ.* cf. ib. p. 100 adn. 5.

1—9 γ (*λδ′* add. D): om. ZYM ‖ **10—16** γ (*λε′* add. D): om. ZYM ‖ **12** *ι′* γ: *ζ′* 𝔉𝔐 ‖ **13. 14** *εὑρ. ἕνα* pon. D ‖ **16** *τέχ. κ. τ. πρ.* pon. D ‖ **17**—p. 126, 11 Mγ (*λς′* add. D) ‖ **17—19** *Ἡ Ἀφρ. — ποικ.* γ: *Οἰκεῖον μέντοι τῆς ἐνεργείας τοῦ τῆς Ἀφροδίτης μουσικὴ πᾶσα καὶ ζωγραφικὴ καὶ ποικιλτικὴ* M ‖ **22** *μετελ.* Mγ: *μελετεύσεται* Sch ‖ **24** *εἰ* γ: *ἐὰν* M | *εὑρεθῇ* M: *εὑρεθεῖ* γ | *τοῖς τόποις* M: *τοὺς τόπους* γ ‖ **25** *ἀποδ.* γ: *ποιήσει* M

μαίνει δὲ καὶ τοῦτο, ὅτε ὁ ἐν ἀποκλίματι ἀγαθοποιὸς τριγωνίζων ἢ ἀγαθοποιὸν ἢ κέντρον ἀνασώζει τὴν ἑαυτοῦ δύναμιν, καὶ γίνεται ἐνεργέστερος, εἰ καὶ ἐπίκεντρος ἦν· καὶ ὁ μὲν ἐπίκεντρος τὸ μέγεθος δίδωσι τῆς ἀγαθοποιίας, ὁ δὲ ἐν ἀποκλίματι τριγωνίζων τὴν ποιότητα τοῦ ἀγαθοῦ 5 *δίδωσι. τὸ δ' ὅμοιον γίνεται, ἀλλ' ὡς ἐπ' ἔλαττον, κἂν ὁ ἕτερος ᾖ κεκεντρωμένος, ἀλλ' ἐπὶ ἀναφορᾶς. ἐνδυναμοῦται γὰρ ὁ ἐν ἀποκλίματι τριγωνιζόμενος ὑπ' αὐτοῦ, ἐὰν δὲ ὁ κεντρωθεὶς κακοποιὸς ὢν σχηματίσῃ τὸν ἀποκλί-* P3 *ναντα ἔτι μᾶλλον αὐτὸν ἀμβλύνει καὶ τὴν ἐνέργειαν τοῦ* 10 *ἀγαθοποιοῦ ἀμυδροτέραν ποιεῖ.*

⟨ος'/β'⟩ Ἄλλως· Ἐν τῷ περὶ πράξεως λόγῳ κυριώτερος τόπος ἐστὶν ἐν μὲν τοῖς κέντροις τὸ μεσουρανοῦν, ἐν δὲ ταῖς ἐπαναφοραῖς ὁ βίος, ὅστις οὖν τῶν τριῶν ἀστέρων Ἄρεως, Ἀφροδίτης ἢ Ἑρμοῦ χρηματίσει εἰς τὸν περὶ πράξεως 15 *λόγον καὶ ὁ τόπος αὐτοῦ συνεργήσει εἰς τὸ μέγεθος τῆς πράξεως, οἷον ἐν μὲν τῷ μεσουρανήματι ἢ τῷ βίῳ ὁ τοῦ Ἑρμοῦ βελτίους καὶ καθαρὰς παρέχει τέχνας, οἷον σοφιστικήν, ῥητορικήν, γραμματικήν, διδασκαλικήν, ἐν δὲ τοῖς ὑποδεεστέροις τόποις λογογράφους, νομικούς, χαμαιδιδα-* 20 *σκάλους. ὁ δὲ τοῦ Ἄρεως ποιεῖ στρατηγοὺς ἐν τοῖς κρείττοσι τόποις, ἢ στρατιώτας ἢ χρυσοχόους, ἐν δὲ τοῖς χείροσι μαγείρους ἢ κλειδοποιούς. ἡ δὲ Ἀφροδίτη ἐν μὲν τοῖς κρείττοσι τόποις ποιεῖ ζωγράφους, κιθαριστάς, ὑφάντας ποικίλων ἱματίων, ἐν δὲ τοῖς χείροσι ποιεῖ θυμελικούς,* 25 *μίμους καὶ τὰ τοιαῦτα.*

2 *κέ. ἢ ἀγ.* pon. **M** | *ἑαυτὴν* **D** || **6** *τὸ δ' γ*: *καὶ τὸ* **M** | *γίν.* om. **M** || **12—26** **Y𝔣Mγ** (v.CCAG V3, p. 88): om. **ZD** || **12** *ἄλλως* **Y𝔣**: om. **Mγ** || **13** *ἐν*[1] **𝔣Mγ**: *ὅτι ἐν* **Y** || **14** post *βίος* add.: *ἤτοι τὸ β' ἀπὸ ὡροσκόπου* **𝔣** || **14. 15** *Ἄρ. Ἀφ. ἢ Ἑρ.* **𝔣**: ♂ ♀ ♄ **Y**: ♂ ☿ ♀ **Mγ** || **15** *εἰς* **𝔣Mγ**: *πρὸς* **Y** || **16** *λόγον* **𝔣**: om. **YMγ** | *αὐτοῦ* **𝔣**: *αὐτῶν* **Yγ**: *αὐτῷ* **M** || **19** *διδασκ.* om. **M** || **20** *λογ.* om. **M** || **21** *ποιεῖ* **Y𝔣**: *π. ἢ* **Mγ** || **22** *ἢ*[2] **𝔣Mγ**: *καὶ* **Y** || **22. 23** *ἐν — κλειδ.* **𝔣**: *ἢ κλ. ἐν τ. χ.* **Y**: *ἢ κλ.* **γ**: om. **M** || **24** *τόποις* om. **𝔣** | *ποιεῖ* om. **Y𝔣** || **24. 25** *ὑφ. π. ἱμ.* **Y𝔣γ**: *ποικιλτάς* **M** || **25** *ποιεῖ* om. **𝔣** || **26** post *τοιαῦτα* fin. **Y𝔣**.

Ἐὰν δὲ οἱ τρεῖς ἀστέρες ὦσιν ἐν τοῖς πρακτικοῖς τόποις Ἀφροδίτη, Ἄρης, Ἑρμῆς, ἔσται τότε πολύτεχνος, μᾶλλον δ' ἐμπρέπων ἐν ἐκείνῃ τῇ τέχνῃ, ἧς ὁ χορηγὸς ἀστὴρ τὸν κυριώτερον τόπον ἐπέχει. ὅταν δὲ οἱ $\overline{\vartheta}$ τόποι χηρεύωσι
5 *τῆς τῶν τριῶν ἀστέρων παρουσίας, Ἄρεως, Ἀφροδίτης, Ἑρμοῦ, τότε δεῖ τὸν κλῆρον τῆς Τύχης ἐπιβλέπειν, τίνα ἔχει τῶν τριῶν τούτων ἀστέρων. εἰ δὲ καὶ οὗτος ὁ τόπος μὴ ἔχει Ἄρεα, Ἀφροδίτην, Ἑρμῆ ἢ ἐκ τῶν τριῶν ἕνα, τότε τὰ λοιπά, οἷον τὸν τὴν συναφὴν ἔχοντα τῆς Σελήνης*
10 *ἢ τοῦ Ἡλίου ἢ τὸν ἑῷον ἀνατολικόν.*

⟨οζ'⟩ Σχόλιον· Ἐδείχθησαν ἐν τοῖς κέντροις ἢ ταῖς 77 *ἐπαναφοραῖς οἱ ἀγαθοποιοὶ ὄντες μᾶλλον ποιεῖν τὰ αὐτῶν ἀγαθά, οἱ δὲ κακοποιοὶ τὰ φαῦλα. νῦν δὲ δείκνυσιν, ὅτι καὶ ἐν ἀποκλίμασιν εὑρεθέντας ἐνδέχεται αὐτοὺς ἀπο-*
15 *τελεῖν τὰ οἰκεῖα, ὥσπερ εἰ ἐν τοῖς κέντροις ἢ ταῖς ἐπαναφοραῖς ἦσαν.*

⟨οη'⟩ Σχόλιον· Τὸ γὰρ τρίγωνον $\overline{\rho\kappa}$ μοιρῶν ἐστιν. εἰ 78 *οὖν καὶ $\overline{\rho\iota\zeta}$ εἰσι, κἀκεῖνο τρίγωνον λέγεται, οἷον εἴ τις ἐν τῷ ἕκτῳ ὤν, ἀποκλίματι ὄντι τοῦ δύνοντος, βάλλει ἀκτῖνα*
20 *κατὰ τοῦ δεκάτου, τριγώνου αὐτοῦ ὄντος. ἔστι δὲ ὁ τοιοῦτος μεσουράνημα.*

O 2 *⟨οθ'⟩ Σχόλιον· Ἐν τῷ ἀποκλίματι τοῦ δυτικοῦ εἰς τὰ* 79 *ἡγούμενα, ἐν ἕκτῳ τόπῳ ὤν, τῇ Κακῇ Τύχῃ, εἴπερ ὁ Ταῦρος ἐμεσουράνει.*

25 *⟨π'⟩ Σχόλιον· Τὸ διὰ τοῦ κακοποιοῦ αἴτιον ἔσται ἢ* 80 *δυστυχία ἢ πόλεμος.*

⟨πα'⟩ Σχόλιον· Ἡ ποιότης ἀποτελεῖται διὰ γυναικῶν 81 *ἢ διὰ λόγων, ὅταν ὁ Ἑρμῆς ἐν τῷ ἀποκλίματι ᾖ· γίνονται γὰρ πόλεμοι καὶ δυστυχίαι διὰ λόγων καὶ γυναικῶν.*

1—10 M γ: om. ZY§D || **8** *Ἀρ.—ἕνα* γ: *τινὰ αὐτῶν* M || **11—16** γ (*λζ'* add. D): om. ZYM || **17—21** γ: om. ZYMD || **22—24** γ: om. ZYMD || **25. 26** γ: om. ZYMD || **27—29** γ: om. ZYMD

82 *⟨πβʹ⟩ Σχόλιον· Περὶ ὡροσκόπου διδάξαι βουλόμενος
καὶ τῶν ἄλλων κέντρων, ὧν ὁ ὡροσκόπος κατάρχει ἐπὶ
πάσης καταρχῆς καὶ γενέσεως, ὅς καὶ βάσις καὶ προοί-
μιον λέγεταί τε καὶ ἔστιν, καὶ οὐ μόνον τῶν κέντρων
ἀλλὰ καὶ τῶν λοιπῶν τόπων· προδιαλαμβάνει περὶ τῆς* 5
*ἐποχῆς τοῦ Ἡλίου. καὶ γὰρ ἄνευ τούτου οὐ δυνατὸν γνῶ-
ναι, ποίαν μοῖραν ἔχει ὁ ὡροσκόπος.*

83 *⟨πγʹ⟩ Σχόλιον· Τὸ μὲν γὰρ ἀπὸ εʹ Lʹ Ἰχθύων τεταρτη-
μόριον μέχρι εʹ Lʹ Διδύμων, διὰ τὸ ἐν τῷ ἀπογείῳ εἶναι
τότε τὸν Ἥλιον· τὸ γὰρ ἀπόγειον τοῦ ἐκκέντρου αὐτοῦ* 10
*ἐν Διδύμων μοίρᾳ εʹ Lʹ ἐστιν καὶ δι' ἡμερῶν ϙ̅δ̅ Lʹ περι-
πολεύεται· τὸ δὲ ἀπὸ εʹ Lʹ Διδύμων μέχρι εʹ Lʹ Παρθένου
διὰ ϙ̅ ηʹ, ὡς κινεῖσθαι τὸ μὲν ἀπόγειον διὰ ρ̅π̅ζ̅ ἡμερῶν,
τὸ δὲ περίγειον διὰ ρ̅ο̅η̅ δʹ.*

84 *⟨πδʹ⟩ Σχόλιον· Ἀπὸ Ταύρου μοίρας ⟨ο̅⟩ ιʹ μέχρι Λέον-* 15
*τος ιεʹ, ὡς ἐνταῦθά φησι, μοῖραι ρ̅δ̅ ν̅ λεπτά· λοιπὸν εἰς
τὸ ἡμικύκλιον μοιρῶν ρ̅⟨π̅⟩ ⟨μοῖραι⟩ ο̅ε̅ λεπτὰ ι̅, ἀρχόμεναι
ἀπὸ ιεʹ τοῦ Ὑδροχόου μέχρι Ταύρου μοίρας ⟨ο̅⟩ ιʹ, τοῦ καὶ
μεσουρανοῦντος, ὥστε ζῴδια μὲν ἀπηλιωτικὰ γ̅ ⟨καὶ⟩
μοῖραι ι̅δ̅ λεπτὰ ν̅, λιβυκὰ δὲ δύο ⟨καὶ⟩ μοῖραι ι̅ε̅ λεπτὰ ι̅,* 20
*ὧραι δὲ καιρικαὶ ἑκατέρωθεν ϛ̅· τὸ μὲν οὖν μεσουρανοῦν
κατὰ τὴν ἰσότητα τῶν ἑκατέρωθεν ὡρῶν λαμβάνεται
πάντοτε, καὶ γὰρ ἓξ εἰσιν ὧραι ἑκατέρωθεν. οἱ δὲ τόποι
κατὰ τὸ τῶν ἑκατέρωθεν δωδεκατημορίων ποσὸν ἀριθ-
μοῦνται καὶ διατίθενται. διὰ τοῦτο ἂν μὲν συμβῇ τὰ ἑκα-* 25
τέρωθεν δωδεκατημόρια ἴσα ἑκατέρωθεν εἶναι, τουτέστι

1—7 D (*ληʹ* add.): om. ZYMγ ‖ **8—14** D (*λθʹ* add.): om. ZYMγ ‖ **11** *εLʹ* Ng: *κεLʹ* D cf. Interpretat. p. 139 ‖ **14** *δʹ* Ng: *ϖ* D ‖ **15** — p. 129, 18 D𝔟: om. ZYMγ ‖ **15** *Σχόλ.* D qui add. *μαʹ* (*μʹ* om.): om. 𝔟, qui pon. schol. sine inscriptione, sine alinea post *ἀριθμός.* (p. 85, 6): totum schol. om. YZMγ | ⟨*ο*⟩ add. Ng.: *ιʹ* D𝔟, cf. Interpretationes p. 144 s ‖ **17** *ἡμι-κύκλιον* 𝔟: *ἡμικύκλον* D | *ρ̅π̅* Neugebauer: *ρ̅* D𝔟 | *ο̅ε̅* 𝔟: *ε̅* D ‖ **18** ⟨*ο̅*⟩ add. Ng.: *ιʹ* D𝔟, v. s. ‖ **19** *καὶ* add. ‖ **20** *ι̅δ̅* 𝔟: *ι̅α̅* D | *καὶ* add. ‖ **24** *τὸ* om. 𝔟

γ̄ καὶ γ̄, διότι καὶ αἱ ὧραι πάντοτε ζ̄ καὶ ζ̄ καιρικαὶ τυγχάνουσιν († ἰσημερινὰ δὲ εἰ ⟨μὴ⟩ τύχη δ̄L′ καὶ δ̄L′ ἢ ζ̄L′ καὶ ζ̄L′ †.) συμβαίνει δὲ τοῦτο τοῦ Αἰγοκέρωτος ἢ τοῦ Καρκίνου μεσουρανοῦντος.

5 *Τότε καὶ ὁ δέκατος τόπος αὐτὸς τῷ μεσουρανοῦντι καθέστηκεν, ἐὰν δὲ τῶν ὡρῶν ἴσων οὐσῶν ἑκατέρωθεν πάντοτε, καθ' ἃς τὸ μεσουρανοῦν σημεῖον ἐπὶ τοῦ μεσουρανήματος καὶ ἰσημερινοῦ κύκλου λαμβάνεται, καὶ [γὰρ] τὰ τοῦ ἰσημερινοῦ τμήματα, δι' ὧν ἡ ἀναφορὰ*
10 *τοῦ ἡμικυκλίου γίνεται, πάντοτε ἑκατέρωθεν ἴσα ἐστίν· ἀλλ' ⟨εἴ⟩ ποτε μὲν μείζω τοῦ τεταρτημορίου, ποτὲ δὲ ἐλάττω, [δηλονότι ⟨οὐκ⟩ ἐν ταῖς ἰσημερίαις], τὰ δωδεκατημόρια οὐκ ἴσα εἰσὶν ἑκατέρωθεν, ἀλλ' ἢ τὰ ἀπηλιωτικὰ πλείω τῶν τριῶν εἰσιν ὡς ἐνταῦθα πλείους εἰσὶν τῶν ϙ̄ μοιρῶν*
15 *μοίραις ιδ̄ ν′, τὰ δὲ λιβυκὰ ἐλάττω ἢ καὶ ἀνάπαλιν. τότε τὸ μεσουρανοῦν οὐ τὸ αὐτό ἐστι τῷ ι′ τόπῳ. ἀλλ' εἰ μὲν πλείω τὰ ἀπηλιωτικά εἰσιν, ἐν τῷ θ′ εὑρίσκεται καὶ οὐκ ἐν τῷ ι′. εἰ δὲ τὰ λιβυκά εἰσι πλείω, ἐν τῷ ια′.*

R 1 𝔓 1 *⟨πε′⟩ Σχόλιον· Οἷον ὁ Ζεὺς ἐν Κριοῦ μοίρᾳ ιβ′ ἐν τριγωνικῷ κέντρῳ μονομοιρία τοῦ Κρόνου ἐστί· τούτου γὰρ ἡ ιβ′* 85
21 *τοῦ Κριοῦ κατὰ τὸ ὀρθῶς ἔχον κανόνιον καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως. καὶ ἐπὰν εὕρω, ἐν ποίᾳ τριγωνικῇ μοίρᾳ ὁ ἀστήρ, σκοπῶ, πότερον ἐν ἰδίᾳ ἢ ἐν ἀλλοτρίᾳ, καὶ πότερον ἀγαθοποιοῦ ἢ κακοποιοῦ, καὶ πότερον αὐτὸς ὁ ἀστὴρ ἀγα-*
25 *θοποιός ἐστιν ἢ κακοποιός, καὶ ὑπὸ ἀγαθοποιῶν ἢ κακοποιῶν βάλλεται. καὶ οὕτως ἀποφαίνομαι, ὅτι εἰ μὲν ἐν τῇ ἰδίᾳ τριγωνικῇ μονομοιρίᾳ ἐστίν, ἀγαθόν, εἰ δὲ ἐν ἀγαθοποιῶν τόποις, ἔτι ἀγαθώτερον, εἰ δὲ καὶ ἀπὸ ἀγαθοποιῶν βάλλεται, ἐστὶν ἀγαθώτατον· εἰ δὲ τὰ ἐναντία, τὸ ἀνάπαλιν.*

1 *ὧραι* D: *ὡροσκόπαι* 𝔟 || **2** *ἰσημερινὰ* 𝔟: *μεσουράνημα* ? (i. cp.) D || **2** *δ̄L′ — ζ̄L′* D𝔟: fortasse *δ̄L′ καὶ ζ̄L′ ἢ ζ̄L′ καὶ δ̄L′* Neugebauer || **8** *ἰσημ.* 𝔟: i. cp. D | *διότι* add. || **10** *ἴσα* scripsi: *ἴση* D𝔟 || **11** *εἰ* add. | *τοῦ τετ.* scripsi: *τὸ τεταρτημόριον* D𝔟 || **14** *τριῶν* D: *τριγώνων* 𝔟 | *ϙ̄* 𝔟: *θ̄* D || **15** *ιδ̄* 𝔟: *ια̅* D || **16** *οὐ* 𝔟: *ἐν* D || **19—29** Mγ (*μβ′* add. D) 𝔟: om. ZY || **23** *ἀστ. ἐστι* M || **27** *ἀγαθοποιῶν* M: *-ποιοῖς* γ || **29** *ἐστὶν* 𝔏 Hel.: *ἔτι* D𝔉: om. M

86 ⟨πϛ′⟩ *Σχόλιον· Εἰ ἐν τῇ αὐτῇ μοίρᾳ καὶ ἀμφότεροι εὑρεθῶσιν οἱ ἀστέρες, βλέπομεν τὰς τριγωνικὰς αὐτῶν μονομοιρίας, καὶ ἐὰν ἐγγίζουσαι εὑρεθῶσι καὶ ἀμφότεραι τοῦ ὡροσκόπου παγίως. καὶ οὕτως ὡροσκόπος ληφθήσεται, κἂν ἐν διαφόροις ζῳδίοις τὴν αὐτὴν κβ′, εἰ τύχῃ, ἢ κγ′* 5 *ἔχοντες ὦσιν· εἰ δὲ μὴ τὴν αὐτήν, ἀλλ᾽ ὁ μὲν κβ′ ὁ δὲ ιϛ′, ἐνταῦθα ὁ πλείονα λόγον ἔχων ψηφοφορίας προσληφθήσεται.*

87 ⟨πζ′⟩ *Σχόλιον· Ὁ Ἥλιος ἐν Καρκίνου μοίρᾳ η′, ὁ* R3 *ὡροσκόπος μοίρᾳ κγ′ ἐν Καρκίνῳ· σκοπῶ οὖν, εἰ ἡ η′* 10 *μοῖρα τοῦ Καρκίνου, ἣν ἐπέχει ὁ Ἥλιος, τινὸς ἀστέρος ὑπάρχῃ τριγωνικὴ μονομοιρία, καὶ εὑρίσκω κατὰ τὴν προειρημένην μέθοδον, ὅτι ἐστὶν Ἀφροδίτης· ὁ μὲν γὰρ Καρκίνος δ′ τρίγωνόν ἐστιν, ἡ η′ μοῖρα ἔχει παρακειμένην τὴν Ἀφροδίτην ἐν τῷ ὀρθῶς ἔχοντι κανονίῳ.* 15 *ἐπεὶ οὖν τοῦτο εὑρέθη, οὗτός ἐστιν ὁ κύριος τῆς ἐποχῆς τοῦ Ἡλίου, τουτέστιν ἡ Ἀφροδίτη. ζητῶ οὖν καὶ ἐν τῇ ὡροσκοπικῇ μοίρᾳ, τῇ κγ′ τοῦ Καρκίνου, ποῦ πλησίον ὁ τῆς Ἀφροδίτης τὴν τριγωνικὴν ἔχει μονομοιρίαν, καθ᾽ ἕτερον οἱονδήποτε ζῴδιον, εἴτε ἐν αὐτῇ τῇ* 20 *κγ′ εἴτε πλησίον αὐτῆς πλέον ἢ ἔλαττον. καὶ εὗρον, ὅτι πλησίον αὐτῆς ἐστιν ἀπὸ μιᾶς μοίρας. ἡ μὲν γὰρ ὡροσκοποῦσα μοῖρα κγ′, ἡ δὲ τῆς Ἀφροδίτης τριγωνικὴ μονομοιρία ἐν ἑτέρῳ ζῳδίῳ, τουτέστι ἐν αὐτῷ τῷ Καρκίνῳ, εὑρίσκεται κβ′. ἡ γοῦν κβ′ τοῦ Καρκίνου ὡροσκόπος* 𝔓3 *ἐστὶν καὶ οὐχ ἡ κγ′.* 26

Δευτέρα δὲ μέθοδος ἀπὸ Σελήνης μόνης, εἴτε νυκτὸς εἴτε ἡμέρας, μεθοδεύεται οὕτως. ζητεῖται, ἐν ποίῳ ζῳδίῳ ἐστὶν ἡ Σελήνη, εἶτα, ἐπὰν εὑρεθῇ,

1—8 γ (*μγ′* add. D) Sch[1] (post schol. 87 pon. Sch[2]): om. ZYM || 4 *παγίως* γ: *πάγειος* Sch[2] || 5 *εἰ τύχ.* γ: *ἐτύχη* Sch[1]: *ἐκ τύχης* vel *τυχὸν* Sch[2] || 9—p. 131, 14 Mγ (num. *μδ′* om. D): om. ZY | scholium ex Heliodori commentario excerptum et decurtatum est. numeri igitur cum tabellis Heliodori non cum Pauli tabellis congruunt || 17 *οὖν* Mγ: *γοῦν* D || 18 *καὶ* D: om. Mγ || 19 *ποῦ* Mγ: *τοῦ* Sch | *ἔχει* Mγ: || 20 *οἱονδ. ἕτ.* pon. M || 25 *ὡρ.* Mγ: om. Sch || 26 *ἐστὶν* M: om. γ || 27 *δὲ* om. M || 28 *ζητῶ* M

ζητεῖται, τίνος ὅριον ἐπέχει, τουτέστιν ἡ μοῖρα ἐκείνη, τίνος ὅριόν ἐστι. καὶ τὸν τοιοῦτον ἀστέρα ζητοῦσι, ποίαν τριγωνικὴν ἐπέχει μοῖραν συνεγγίζουσαν τῇ ὡροσκοπούσῃ παχυμερῶς μοίρᾳ πλέον ἢ ἔλαττον καὶ τὴν πλησιά-
5 ζουσαν κατὰ τὸ πλεῖον ἢ τὸ ἔλαττον, ἐκείνην λέγω ὡροσκοπεῖν· οἷον ἐπὶ τοῦ εἰρημένου παραδείγματος ἡ Σελήνη ἐν Παρθένου μοίρᾳ κγ' εὑρεθῇ ἐν ὁρίοις Ἄρεως, βλέπω ἐν τῷ ὡροσκοποῦντι ζῳδίῳ, ποῦ ἔχει ὁ Ἄρης τὴν τριγωνικὴν αὐτοῦ μονομοιρίαν, τουτέστιν αὐτὴν τὴν
10 κγ' τῆς Παρθένου καὶ ἐπὶ τοῦ αὐτοῦ παραδείγματος. καὶ γὰρ ἐκεῖ ⟨ἡ⟩ κγ' ἦν ἡ ὡροσκοποῦσα· καὶ εὑρίσκω τοῦτον ἐν τῇ κβ' τοῦ δευτέρου τριγώνου κατὰ τὴν ἔκθεσιν τοῦ κανονίου. αὕτη οὖν ἡ ὡροσκοποῦσα. συμφωνοῦσιν οὖν αἱ μέθοδοι.

15 ⟨πη'⟩ Σχόλιον· Τὸ ἀπὸ τῶν ἡγουμένων γὰρ ἑξάγωνον μέσον ἀγαθοῦ καὶ κακοῦ. 88

⟨πθ'⟩ Σχόλιον· Οἷον ἐὰν ὁ Ἄρης ἐστὶ παραιρέτης· ἐὰν γὰρ ὁ Ἄρης ἐπὶ ἡμερινῆς γενέσεως σχηματίσῃ τὸν ὡροσκόπον, φαυλότατον, εἰ δὲ ἐπὶ νυκτερινῆς, μέτριον.
20 δεῖ δὲ σκοπεῖν καὶ τὰς ἐπεμβάσεις. 89

⟨ϙ'⟩ Σχόλιον· Ὅταν κατὰ μόριον καὶ μοιρικῶς τὸ ἑξάγωνον γίνηται. Αὐτίκα γὰρ ἐξ εὐωνύμων ὂν τὸ ἑξάγωνον ἀναιρεῖ, εἰ μὴ διακόπτεται ὑπὸ παρουσίας ἢ ἀκτῖνος τινὸς ἀγαθοποιοῦ· εἰ δὲ ἐκ τῶν εὐωνύμων ᾖ,
25 μήπω δὲ ᾖ μοιρικῶς καὶ κατὰ ἰσοσκέλειαν, ἀλλὰ μοιρῶν
Ω1 τινων ἐνδεῖ, τότε κατὰ κόλλησιν λέγεται τὸ τοιοῦτον σχῆμα, τῆς κολλήσεως ἑτέρας οὔσης ἐνταῦθα παρὰ τὴν 90

1.2 ἐπέχει — ὅριον Mγ: om. Sch ‖ 4 ἢ πλ. ἢ ἔ. M ‖ 5 τὸ[1] τὸ[2] om. M ‖ 6—11 nomina zodiorum et numeri corrupti et in Pauli et in Heliodori codicibus traduntur. ‖ 9 μονομ. γ: πλειονομοιρίαν M ‖ 13 καὶ συμφ. M ‖ 14 οὖν om. M ‖ 15.16 γ: om. ZYMD ‖ 17—20 γ (με' add. D): om. ZYM ‖ 21—p. 132, 13 Mγ (hic μδ' add. D): om. ZY ‖ 24 εἰ γ: ἐὰν M

προειρημένην. ὅσοι γὰρ εἰσιν οἱ μεταξὺ χρόνοι τῆς τε ἡγουμένης καὶ τῆς ἑπομένης, τοσοῦτοι χρόνοι διελεύσονται, καὶ ὁ κλιμακτὴρ γενήσεται μέχρι τῆς τοῦ ἀστέρος ἢ τοῦ σχήματος μοιρικῆς κολλήσεως. ἡ τοιαύτη γὰρ κόλλησις καὶ ἐπὶ τῆς κατὰ χρόνον ζωῆς μεθόδου τοὺς τῆς ζωῆς 5 *δίδωσι χρόνους, ὡς καὶ ὁ Πτολεμαῖος ἐν τῷ 'Περὶ Χρόνων Ζωῆς' τὴν μὲν ἀρχὴν τῶν Διδύμων ἀναιρετικὴν ὑποθέμενος, τὴν δὲ ἀρχὴν τοῦ Κριοῦ καὶ ἀφετικήν, τοὺς χρόνους τῆς ζωῆς κατὰ τὰς διαφόρους θέσεις αὐτοῦ ἐμεθόδευσε. μέχρις γὰρ ἂν κολλήσῃ ἡ τῶν Διδύμων μοῖρα,* 10 *μέχρι τότε τὰ τῆς ζωῆς ἔτη συμπληρωθῶσιν ἄν. κόλλησις οὖν καὶ παρ' ἐκείνῳ ἐστίν, ἥτις καὶ ἐνταῦθα κατὰ περίπατον λεγομένη.*

91 *⟨ϙα′⟩ ⟨Σχόλιον⟩· Ἐπέμβασίς ἐστιν, ὅταν τὴν οἰκείαν ἑαυτοῦ ἕκαστος ποιήσηται τῶν ζ ἀστέρων ἀποκατάστασιν.* 15

92 *⟨ϙβ′⟩ Σχόλιον· Ἐπέμβασίν φησιν, ὅταν ἐπὶ τῶν ἀντιγενέσεων τὸ διάθεμα κατέχοντες τῆς γενέσεως ἀπὸ τοῦ ὡροσκόπου ἐξάγοντες τοὺς χρόνους καταντήσωμεν εἴς* S2 *τι ζῴδιον. λέγεται γὰρ ἐπέμβασις τοῦ ἔτους ἐκείνου, κατ' ἐκεῖνο τὸ ζῴδιον. ἐὰν οὖν ἐν τοῖς κέντροις τῆς* 20 *γενέσεως τὸ ἔτος ἐκπεσὸν τύχῃ, κατὰ τὴν πρόοδον τοῦ χρόνου καὶ ἐπὶ τὸν κλῆρον τῆς Τύχης, τῆς ἐν τῇ γενέσει δηλαδή. καὶ γὰρ καὶ τὰ κέντρα τῆς γενέσεως δεῖ νοεῖν ἢ τὸν κλῆρον τοῦ Δαίμονος ἢ ἔνθα ἦν ὁ Ἀναβιβάζων ἢ ὁ Καταβιβάζων, καὶ μάλιστα, ἐὰν στηρίζωσιν ἢ ἑῷοι ἀνα-* 25 *τολικοὶ εὑρεθῶσιν. ἐπιτείνεται τηνικαῦτα τὸ κακόν. ὡσαύτως καὶ ἐὰν ἐν τῇ συνόδῳ καὶ πανσελήνῳ τῇ προσεχῶς ἐπὶ τοῦ καιροῦ τῆς γενέσεως γενομένῃ ἐκπέσωσιν, ἢ ἐν τοῖς τούτων τετραγώνοις ἢ διαμέτροις.*

1 *τε* Mγ: *δὲ* Sch || **6** *καὶ* om. M || **8** *τὴν καὶ ἀφ.* M || **9** *τὰς* om. M | *αὐτοῦ* (= *ἐνθάδε*) γ: *αὐτῇ* M || **11** *μέχρι τ.* γ: *ἐς τοσοῦτον* M | *συμπλ. ἂν* γ: *συμπληρωθήσονται* M || **12** *ἥτις* γ: *ἡ* M || **14. 15** Z: om. YMγ || **16—29** γ (*μς′* add. D): om. ZYM || **16** *ἀντιγεν.* cf. Libr. Herm. Tr. ed. Gundel p. 344, 1 || **19** *τι* γ: *τὸ* Sch || **21** *πρόοδον* γ: *περίοδον* Sch || **22** *τὸν κλῆρον* γ: *τοῦ κλήρου* Sch || **29** *διαμέτροις* γ: *διαμέτρῳ* Sch

⟨ϙγ'⟩ Σχόλιον· Συνάντησις κατὰ περίπατόν ἐστιν ἡ μὲν κατὰ ἀκτινοβολίαν, ἥτις ἐστὶν ἀπὸ τῶν ἑπομένων κατὰ τὰς ἀναφοράς, ἡ δὲ κατὰ μηκικὴν κίνησιν τῶν ἀστέρων ἀπὸ τῶν ἡγουμένων ἐπὶ τὰ ἑπόμενα κατὰ σχη-
5 ματισμοὺς καὶ κολλήσεις. 93

⟨ϙδ'⟩ Σχόλιον· Εἰ γάρ τις ἀστὴρ κατὰ τὸν καιρὸν τῆς γενέσεως εἴη ἐπὶ τὰ ἡγούμενα, Σελήνη δὲ ἢ Ἥλιος ἐπὶ τὰ ἑπόμενα καὶ σχηματισμόν τινα ποιοῦνται πρὸς τὸν ἀστέρα, μήπω δὲ μοιρικῶς ὁ τοιοῦτος γίνεται, ἀλλὰ
10 πρὸ πέντε ἢ ἓξ ἢ τεσσάρων μοιρῶν τὸ σχῆμα ἀπαρτίζεται, ὅταν καὶ μοιρικῶς ἀποτελεσθῇ καὶ διεξέλθῃ τοὺς μεταξὺ χρόνους, τότε φαμὲν γενέσθαι συνάντησιν ἐκ περιπάτου. κἂν μὴ κατὰ σχῆμα ἀλλὰ κατὰ παρουσίαν πρὸ τῆς ἀκριβοῦς συναντήσεως τύχῃ ὁ Ἥλιος ἢ ἡ Σελήνη ἢ ὁ
15 ὡροσκόπος, καὶ τότε τὰ αὐτὰ φήσομεν. 94

⟨ϙε'⟩ Σχόλιον· Ἔξαλμα λέγεται, ὅταν ὁ Ἥλιος ἢ ἡ Σελήνη ἀπὸ ζῳδίου εἰς ζῴδιον μέλλῃ μὲν μεταβῆναι, λείπεται δὲ μοίρας τινὰς οἷον $\overline{\iota\epsilon}$. 95

⟨ϙϛ'⟩ Σχόλιον· Ἑκάστη γὰρ ἀναφορᾷ δεδώκασιν
20 ἐνιαυτόν, ἤγουν μῆνας $\overline{\iota\beta}$. 96

⟨ϙζ'⟩ Σχόλιον· Πολλαπλασίασον ταῦτα εἰς μῆνας $\overline{\iota\beta}$ καὶ γίνονται $\overline{\upsilon\kappa}$, εἶτα μερίζω τὰ $\overline{\upsilon\kappa}$ εἰς μῆνας καὶ γίνονται $\overline{\iota\delta}$. 97

⟨ϙη'⟩ Σχόλιον· Ὁ Τοξότης ἀναφέρεται χρόνοις $\overline{\lambda\alpha}$. 98
25 οὗτοι ἐπὶ τὸν ιβ' γίνονται μῆνες $\overline{\tau\pi}$ σὺν τῷ διμοίρῳ. δωδεκάκις γὰρ $\overline{\lambda\alpha}$ $\overline{\tau o\beta}$, δωδεκάκις τὸ ϖ η· τῶν γὰρ $\overline{\iota\beta}$

1—5 γ (μζ' add. D): om. ZYM Sch || 6—15 γ (μη' add. D): om. ZYM Sch || 16—18 γ (μθ' add. D) om. ZYM Sch || 19.20 Z i. mg.: om. YMγ || 21—23 Z i. mg.: om. YMγ || 24—p. 134, 6 Mγ (ν' add. D): om. ZY || 26 ad ϖ cf. p. XX adn. 1

τὸ ω˙ η̅ (— δωδεκάκις τὸ ω˙ η̅, τοῦ γὰρ ιβ̅ τὸ ω˙ η̅. δὶς γὰρ τὰ δώδεκα κδ̅, τούτων τὸ τρίτον η̅ —). μερίζω τοὺς τπ̅ μῆνας παρὰ τὰς λ̅. ἐπιβάλλουσι μιᾷ ἑκάστῃ μοίρᾳ μῆνες ιβ̅ ἡμέραι κ̅. δωδεκάκις γὰρ τὰ λ̅ τξ̅· λοιποὶ μῆνες κ̅. ποιοῦσιν ἡμέρας χ̅, μερίζω ταύτας παρὰ τὸν λ', καὶ ἐπι- 5
βάλλουσιν ἑκάστῃ μοίρᾳ ἡμέραι κ̅.

99 *⟨ϙθ'⟩ Σχόλιον· Ἕτερος δὲ οὗτος ὁ σύνδεσμος παρὰ* Ω4
τὸν Ἀναβιβάζοντα καὶ Καταβιβάζοντα. σύνδεσμος γὰρ νῦν λέγεται, ὅταν πρὸ ε̅ μοιρῶν ᾖ τῆς συνόδου τῆς πρὸς τὸν Ἥλιον ἢ τοῦ ἑξαγώνου, ὅταν ᾖ μηνοειδής, ἢ τοῦ τετρα- 10
γώνου, ὅταν ᾖ διχότομος, ἢ ἀμφίκυρτος, ὅταν τριγωνίζῃ, ἢ ὅταν διαμετρῇ καὶ ᾖ πανσέληνος. καὶ ταῦτα μὲν κατὰ τὰ εὐώνυμα, ὅταν ᾖ ἡ μὲν Σελήνη εἰς τὰ ἑπόμενα, ὁ δὲ Ἥλιος εἰς τὰ ἡγούμενα. ὅταν δὲ μετὰ πανσέληνον ἡ Σελήνη πορεύηται πρὸς τὸν Ἥλιον, λέγεται μὲν εἶναι T1
καὶ σχηματίζεσθαι κατὰ δεξιά, ὅτι ἐστὶ εἰς τὰ ἡγούμενα 16
αὕτη, ὁ δὲ Ἥλιος εἰς τὰ ἑπόμενα, καὶ πάλιν πρὸ μὲν ε̅ μοιρῶν τοῦ τριγωνίσαι ἢ τετραγωνίσαι ἢ ἑξαγωνίσαι λέγεται ποιεῖν σύνδεσμον, μετὰ δὲ τὸν ἀπαρτισμὸν τοῦ σχήματος, ὅταν μοιρικῶς σχηματισθῇ, εἶτα μικρὸν ἀπο- 20
στῇ, λέγεται λύειν σύνδεσμον μοιρῶν ε̅.

100 *⟨ρ'⟩ ⟨Σχόλιον⟩· Ἀστὴρ οἱοσδήποτε ὑποδέχεται ἐν τῷ ἰδίῳ τριγώνῳ ἢ ὁρίοις τὸν κλῆρον τῆς Τύχης ἢ τὸν τοῦ Δαίμονος ἢ τὸν ὡροσκόπον. ἐὰν οὖν οὗτος ὁ ἀστὴρ ἐν τοῖς προειρημένοις ᾖ τόποις, τουτέστιν ἐν τῇ τοῦ* 25
ὡροσκόπου ἐπαναφορᾷ ἢ ἐν τῷ ἐπιδυομένῳ ἢ ἐν τῷ μεσουρανήματι ἢ ἐν τοῖς ἑτέροις, οἷς εἶπε, μὴ ὄντων ἐν τούτοις τῶν φωσφορούντων ἢ τῆς συνόδου ἢ τῆς πανσε-λήνου καὶ σχηματίζηται πρὸς τὸν κλῆρον τῆς Τύχης ἢ τὸν τοῦ Δαίμονος, ὃν ὑποδέδεικται ἐν τῷ οἰκείῳ τόπῳ, 30
τὴν κυρίαν λήψεται οὗτος τῆς γενέσεως.

1. 2 *δωδ. — τρίτον η̅* **D: om. Mγ || 5** *χ̅* **Mγ:** *σπ̅* **D || 7—21 Mγ (***να'* **add. D): om. ZY || 8** *γὰρ νῦν* **Mγ:** *ν. γ.* **Sch || 9** *ᾖ* **M:** *ἐστι* **γ || 12** *ᾖ πανσ.* **γ:** *πανσ. οὖσα* **M || 19** *τὸν ἀπ. τοῦ* **Mγ:** *τοῦ ἀπαρτίσματος* **(leg.** *ἀπαρτισμοῦ τοῦ***) [sic] Sch || 22—31 γ (***νβ'* **add. D): om. ZYM Sch**

II. INTERPRETATIONES

ab O. Neugebauer

confectae

Zum Kapitel 20 (S. 40f.)

Περὶ τοῦ γνῶναι ἑκάστην ἡμέραν, τίνος τῶν θεῶν ἐστιν

Die Wochentagsberechnung des Paulus beruht auf folgendem Princip:

1. Man ordnet jedem Wochentag w eine Zahl zu, wie folgt: ☉ = 1; ☾ = 2; ♂ = 3; ☿ = 4; ♃ = 5; ♀ = 6; ♄ = 7.

2. Es sei ein Datum gegeben im Alexandrin. Kalender und in der Diocletianischen Aera:

Diocl. Jahr: n; Monat: m; Tag: d

Die Zahlen n, m und d sind eigentlich ordinalia, aber für die Rechnung ist es bequemer, sie als cardinalia zu behandeln, statt mit $n-1$, $m-1$, $d-1$ zu rechnen. Folglich beginnt man nicht mit Diocl. 1 I 1 sondern mit einem Tage, der um 1 Jahr 1 Monat früher liegt. Nun sind die folgenden Jahre Schaltjahre (6 Epagomene): Diocl. -1 3 7 11 etc. Also ist als Epochensatz zu wählen Diocl. -1 XII 6, und man weiß, daß dieser Tag ein Montag ist, also ☾ = 2.

Jetzt hat man nur noch die Tage von dieser Epoche zum gegebenen Tag zu bestimmen. Es genügt, die Reste modulo 7 zu berechnen. Nun ist:

$$365 \equiv 1 \quad \text{mod. } 7$$ [1]
$$30 \equiv 2 \quad \text{mod. } 7$$

und für die Jahre Dioclet. 0, 4, 8, . . . ist das vorangehende Jahr mit einem sechsten Epagomenentag versehen. Folglich gibt

$$s \equiv n + [\tfrac{n}{4}]^{2)} + 2 \ \text{mod. } 7$$

den Charakter des Epochentages für Diocl. n. Von hier bis zum Monat m Tag d hat man noch $2\,m + d$ (mod. 7) Tage. Also schließlich

$$w = s + 2\,m + d \quad \text{mod. } 7$$

wie Paulus angibt.

Beispiel: $n = 94$; $m = 6$; $d = 20$

also: $s = 94 + 23 + 2 = 119 \equiv 7 \quad \text{mod. } 7$

$w = 7 + 12 + 20 = 39 \equiv 4$ also ☿

Der Tag ist also: 378, Febr. 14, Mittwoch (= ☿).

Zum Scholion 46 (S. 115ff.)

Der Scholiast will den Wochentag Nov. 16 des Jahres 867 nach Diocletian bestimmen und erhält dafür richtig Tag 5 = Donnerstag (♃). Er behauptet aber, daß *παρὰ ᾿Αλεξανδρεῦσι ιθ′* sei, während Nov. 16 1150

1) Zum Zeichen ≡: Wenn man bei einer Division nicht am Quotienten interessiert ist sondern nur am Rest, schreibt man z. B.: $35 \equiv 0$ modulo 7, d. h. 35 durch 7 dividiert, gibt den Rest 0. Offenbar ist es auch richtig zu sagen, daß

$$35 - 21 \equiv \text{mod. } 7$$

d. h. 35 und 21 unterscheiden sich nur um ganze Vielfache des Moduls 7. Diese Ausdrucksweise ist für alle Kalenderrechnungen die bequemste; z. B.: $365 \equiv 1$ mod. 7 besagt, daß die Wochentage in jedem Gemeinjahr um 1 zunehmen.

2) $[\tfrac{n}{4}]$ bedeutet Division mit 4 unter Vernachlässigung des Restes.

= Athyr 20 ist. Außerdem sagt er, daß das Jahr Diocletian 1 mit einem Tag 5 beginnt, also auch Donnerstag, während Diocl. 1 Thoth 1 ein Freitag (♀) ist. Folglich sieht er den Tag, den unsere Tafeln als Thoth 1 angeben, als Thoth 0 an, d. h. seine Alexandrinischen Daten sind systematisch um 1 kleiner, als es sein soll. Ob das Absicht ist, läßt sich nicht entscheiden.

Der Scholiast folgt der Methode des Paulus Alexandrinus, wie sie im Text steht. Das gibt richtig:

$$\begin{array}{rr} \text{Welt:} & 6659 \\ & -5792 \\ \hline n = & 867 \text{ Diocl.} \end{array}$$

Also nach Paulus: $s = 867 + [\frac{867}{4}] + 2 = 867 + 216 + 2$
$= 1085 \equiv 0\,(7)$

daher

$$\begin{array}{rr} s = & 0 \\ 2\,m = & 6 \\ d = & 20 \\ \hline & 26 \equiv 5\;(7), \end{array}$$

also ♃ Donnerstag = ε.

Das bestätigt, daß Nov. 16 = Athyr 20 und nicht 19 ist. Der Scholiast hat offenbar nur eine sehr dunkle Ahnung, warum die Formel des Paulus funktioniert, deshalb die langen Umschreibungen. – Die Schlußbemerkung über Ptolemaeus scheint reiner Unsinn. Es besteht keine Beziehung zu irgend etwas, was Ptolemaeus über die Apogeen sagt (oder sagen könnte).

Der in allen Hss., die das Scholion bringen, sich findende Fehler ͵αωπε statt des richtigen ͵απε, das schon Schato eingesetzt hat, ist vermutlich einfach die Wiederholung des ω aus ωξζ, das vorausgeht.

Zum ὑπόδειγμα des Πανάρετος-Kapitels (23) (S. 51f.)

Das Beispiel ist vermutlich falsch gerechnet, indem nur 11° für H angerechnet werden statt ♌ 11° = 4^s 11° = 131°

♀: ♒ 15 = 315		♓ 28 — ♒ 15
κλ.Δ.: ♍ 11 = 161		♓ 28 — ♍ 11
154		154
H: ♌ 11 : 11		131 = ♌ 11
165 = ♍ 15		285 = ♑ 15
so haben alle Hss		so hat Schato

Zum Kapitel 28: *Περὶ τῆς τοῦ Ἡλίου κινήσεως* (S. 79f.)

Der Text nimmt an, daß die Sonne für Thoth 1 die Länge 158 (oder 156) hat. Nun ist 158 = 180 — 22; nehmen wir an, daß die Sonnenbewegung 1° per Tag ausmacht, so heißt dies, daß Thoth 1 22 Tage vor dem Herbst-Aequinoctium liegt, also ungefähr Sept. 21—22 = August 29/30, wie es nach dem Alexandrinischen Kalender sein soll. Die Annahme Thoth 1 → $\lambda_0 = 156$ heißt, daß Aug. 29 + 24 = Sept. 23 als Herbstgleiche angenommen ist. Diese Differenz ist kaum chronologisch auszunützen, dazu ist alles viel zu ungenau.


Nun kommt die Regel: addiere zu der Sonnenlänge für Thoth 1 (d. i. zu $\lambda_0 = 158$) die Anzahl der Tage, die seit Thoth 1 verflossen sind. Wäre die Sonnenbewegung 1° per Tag, so wäre man fertig. Nun bewegt sich die Sonne aber in 365 Tagen nur 360°, also $5 = \frac{10}{2}$ Grade weniger als Tage. Wenn man also für jeden Monat $\frac{1}{2}$° weniger nimmt, so erreicht man nahezu die richtige mittlere Bewegung. Das erklärt die Vorschrift des Textes. Mit den Ptolemäischen Handtafeln hat dies nichts zu tun, denn die beruhen auf Ägyptischen Jahren und schreiben eine ganz andere Berechnungsweise (vom Apogeum aus) vor. Die beiden Teile des Kapitels sind also inhaltlich ganz unabhängig voneinander.

Das Scholion 83 (S. 128, 8—14) vermischt zwei Dinge

1. Apog. = ♊ 5;30, Perig. = ♐ 5;30 und senkrecht dazu ♍ 5;30 und ♓ 5;30 und dann

2. die 4 Jahreszeiten nach Hipparch (Synt. III 4)

1. von ♈ 0°	nach	♋ 0°:	$94^1/_2{}^d$	}	187^d
2. „ ♋ 0°	„	♎ 0°:	$92^1/_2$	}	
3. „ ♎ 0°	„	♑ 0°:	$88^1/_8$	}	$178^1/_4{}^d$
4. „ ♑ 0°	„	♈ 0°:	$90^1/_8$	}	



Das zeigt, wie man den Text herzustellen hat (obwohl er inhaltlich keinen Sinn hat). Erstens werden die 4 Punkte der Apsidenlinie und ihrer Normalen erwähnt:

ἀπὸ ε' L' Ἰχθ. μέχρι ε' L' Διδ.
„ „ *Διδ.* „ „ *Παρθ.* (also nicht *κε L'*)

Dann glaubt der Scholiast, der sich dunkel an Hipparchs Bestimmung der Lage des Sonnen-Apogaeums erinnert (Synt. III 4), daß die Zeiten zwischen diesen Punkten $\overline{\varsigma\delta}$ L' [+ $\overline{\varsigma\beta}$ L' =] $\overline{\varrho\pi\zeta}$ und [$\overline{\pi\eta}$ η' +] $\bar{\varsigma}$ η' = $\overline{\varrho o\eta}$ δ' (nicht ω'') sind.

Zu Kapitel 30: *Περὶ μεσουρανήματος* (S. 81 f.)

I. Paulus Alexandrinus geht folgendermaßen vor, um M = *μεσουράνημα* von H = *ὡροσκόπος* zu bestimmen:

Es sei ϱ die Aufgangszeit eines Punktes der Ekliptik für sphaera obliqua (also Alexandria), α die Aufgangszeit für sphaera recta. Dann gibt Ptolemaeus die folgende, exakt richtige Vorschrift (Synt. II, 9 ed. Heiberg S. 144, 14)

$$\alpha\,(M) = \varrho\,(H) - 90$$

Da man immer 360° addieren darf, kann man seine Formel auch als

$$(1) \qquad \alpha\,(M) = \varrho\,(H) + 270$$

schreiben. Nun hat ♑ 0° die Länge (von ♈ 0°) von 270°. Also können wir die Regel des Paulus in der folgenden Weise ausdrücken: Die Länge λ (M) des kulminierenden Punktes M soll aus

$$(2) \qquad \lambda\,(M) = \varrho\,(H) + 270$$

gefunden werden. Der Vergleich von (1) und (2) zeigt also, daß Paulus

$$(3) \qquad \alpha\,(M) = \lambda\,(M)$$

setzt. Das heißt soviel als annehmen, daß für sphaera recta Aufgangszeit = Länge ist (oder Rectascension = Länge oder auch Aequator = Ekliptik). Die Relation (3) ist natürlich nicht richtig, sonst wäre ja die Tafel in Synt. II 8 für Sphaera recta überflüssig, da dann linke Spalte = rechte Spalte wäre. Aber der Fehler ist nicht groß, wie aus Synt. II 8 abgelesen werden kann, und sogar = 0 für λ = 0, 90, 180, 270.

Dieser Text beantwortet die Frage: Wie extrapoliert man die Babylonischen arithmetischen Verfahren für sphaera recta?

Man kann leicht zeigen, daß man zur Identifizierung von Aequator und Ekliptik gelangt, wenn man das Ver-

fahren für die bekannten Klimata[1]) gegen den Aequator zu ausdehnt. Dies wird nun durch diesen Text bestätigt.

Paulus gibt hier ein Verfahren an, das älter ist als die sphaerische Trigonometrie, also mindestens älter als Menelaos. Es ließe sich etwa auf die Zeit des Hypsikles datieren, also erstes Jahrhundert v.Chr. Palchus, Rhetorius u. a. verwenden ausschließlich die Ptolemaeisch-Theonischen Tafeln der Aufgangszeiten, wenigstens wenn sie genau sein wollen.

II. Zur Berechnung der Aufgangszeiten und ihrer Varianten (S. 81, 13ff.):

Es sei, wie oben, ϱ die Aufgangszeit (ascensio obliqua) eines Bogens für das Klima von Unter-Aegypten. Dann gilt für System A:

$$\begin{aligned}
\varrho\,(♈) &= 21;40\\
\varrho\,(♉) &= 25\\
\varrho\,(♊) &= 28;20\\
\varrho\,(♋) &= 31;40\\
\varrho\,(♌\,15) &= \underline{17;30} = \tfrac{1}{2}\,\varrho\,(♌) = \tfrac{1}{2}35\\
\textit{γίνονται πᾶσαι}\ & 124;10\\
\overline{\varrho\kappa\delta}\ \varsigma' &= 124^1/_6
\end{aligned}$$

εὑρίσκομεν χρονικὰς ἀναφορὰς $\overline{\iota\zeta}$ *L′* muß es also heißen.

Die Varianten $\varrho\,(♉) = 21;20$
$\varrho\,(♊) = 25;50$

machen mehr Schwierigkeiten. Vielleicht ist 21;40 zu lesen statt 21;20.

In 21;40 und 25;50 hätten wir die Aufgangszeiten von ♉ und ♊ für Klima VI a System B.[2]) Da Klima VI a fast genau der geographischen Breite von Byzanz entspricht, wird es sich hier wohl um eine späte Korrektur eines Byzantinischen Schreibers handeln, der seine Werte an den Rand schrieb, die dann in die Handschrift D aufgenommen sind.

1) cf. Neugebauer, Astron. Pap. p. 262s.
2) In Neugebauer, Astron. Pap. p. 259 wird allein System A behandelt.

Clima			M		M:m
Alexandr.	1	a	3;30°	14^h	7:5
		b	3;32	14;8	
	2	a	3;34	14;16	
Babylon		b	3;36	14;24	3:2
	3	a	3;38	14;32	
		b	3;40	14;40	
	4	a	3;42	14;48	
		b	3;44	14;56	
	5	a	3;46	15;4	
		b	3;48	15;12	
Rome	6	a	3;50	15;20	23:13
		b	3;52	15;28	29:16
	7	a	3;54	15;36	13:7
		b	3;56	15;44	

Almagest II,8				Later Authors		
M		M:m	Zone	Clima		
12^h	3,0°	1:1	Sphaera recta			
12;30	3,7;30		Aualite Gulf			
13	3,15		Meroe	1		
13;30	3,22;30	9:7	Syene	2		
14	3,30	7:5	Lower Egypt	3		
14;30	3,37;30		Rhodes	4		
15	3,45	5:3	Hellespont	5		
					15;15	Byzan
15;30	3,52;30		Middle Pontus	6		
16	4,0	2:1	Borysthenes	7		
16;30	4,7;30	11:5	South Britt.			
17	4,15		Tanais			

Diese Liste der Climata[1]) gibt links die arithmetischen Methoden, wie sie z. B. Vettius Valens gebraucht. Die a-Reihe stützt sich auf Alexandria, die b-Reihe auf Babylon.

M ist die Länge des längsten Tages in Graden = ° oder in Stunden = ^{h}. Rechts findet sich die spätere Tradition. M = 15;15^h für Byzanz ist ein letzter Zusatz.

1) Die Liste ist dem noch ungedruckten Werk: O. Neugebauer — H. B. van Hoesen Greek Horoscopes, mit Erlaubnis Neugebauers entnommen.

III. Die Stelle p. 82, 1 ff. wäre also etwa zu übersetzen: Diese, die $124\frac{1}{6}°$, tragen wir von ♑ (0°) aus ab (in der Richtung der Zeichen), indem wir jedem Zeichen 30° geben. Nun ist 4 mal 30 = 120; also gelangen wir von ♑ (0°) zu ♉ $4^1/_6$. Ferner ist $^1/_6 = 10'$. Daher sagen wir, daß ♉ 4;10 im Meridian ist.

Der Rest ist klar: M muß nicht immer in den 10. Ort fallen sondern kann auch in den 9. oder 11. kommen.

IV. Zum Scholion 84 (S. 128f.):

(Als Zeichen: H = *ὡροσκόπος*, Δ = *δύσις*, M = *μεσουράνημα*)

Im Scholion ist anzunehmen H = ♌ 15, also Δ = ♒ 15, ferner M = ♉ 0;10. Dies ist ein Fehler für ♉ 4;10, aber alles Folgende operiert mit der falschen Zahl. Es muß also heißen: *Ταύρου μοίρας δ̄ λεπτὰ ῑ*, aber nur *ῑ* ist übrig geblieben. In Zeile 16/17 wird berechnet: Rest von einem Halbkreis:

$$180 - 104;50 = 75;10.$$

Der Text ist verstümmelt zu *ρ̄ο̄ε̄ λεπτὰ ῑ*; es ist auch die falsche Distanz genommen von H = ♌ 15 zu M = ♉ 0;10. Der Rest ist der Bogen von Δ = ♒ 15 nach M = ♉ 0;10.

Was nun kommt, besagt: der östliche Bogen (von H = ♌ 15 zu M = ♉ 0;10) ist 14;50° länger als 3 Tierkreiszeichen: in der Tat 90 + 14;50 = 104;50. Der westliche Bogen (von M = ♉ 0;10 nach Δ = ♒ 15) ist 15;10° länger als 2 Zeichen: in der Tat 60 + 15;10 = 75;10.

Im allgemeinen gibt 𝔟 die besseren Zahlen.

Das Weitere ist dem Sinne nach folgendes: wir wissen jetzt, daß der östliche Bogen HM 90 + 14;50 lang ist, der westliche MΔ 60 + 15;10. Auf jeden dieser Bogen fallen 6 temporäre Stunden. Man sollte erwarten, daß jetzt 104;50 und 75;10 jeweils durch 6 dividiert werden, um die Länge der temporären Stunden zu erhalten, aber statt dessen wird nur von der Gleichheit der Stunden

am Äquator gesprochen und von der Möglichkeit, daß M nicht in den 10. Ort fällt sondern in den 9. oder 11.

In der Tat hat die ganze Rechnung nichts mit den Stunden zu tun sondern besagt folgendes: im allgemeinen sind die Bogen HM und MΔ ungleich, obwohl ihre Summe HΔ immer 180° sein muß. Wenn man jetzt die 12 Orte bilden will, so kann man entweder von H aus immer 30° abtragen, oder man kann jeden der beiden Bogen HM und MΔ für sich in 3 gleiche Teile teilen. Im ersteren Falle kann M nach 9 oder 11 fallen.

Freie Übersetzung von Scholion 84 (S. 128/9):

